[2] Archimedes. Motto of the state of California. Literally: *I have found.*

321. Reduplication is the sign of the perfect, whether active, middle, or passive, and is found in every perfect. It has different forms:

(*a*) Verbs beginning with a single consonant prefix this consonant and ε to the stem:

παύω, πέπαυκα.

φ is represented by π, θ by τ, χ by κ:

φαίνω, πέφηνα; θνήσκω, τέθνηκα.

(*b*) Verbs beginning with a mute and a liquid (Introduction I, *d*) usually reduplicate like those beginning with a single consonant.

γράφω, γέγραφα.

(*c*) Verbs beginning with a vowel, or with a double consonant, or with two or more consonants other than a mute and a liquid, have a reduplication identical with augment:

ἁρπάζω, ἥρπακα; ζητέω, ἐζήτηκα; στρατεύω, ἐστράτευκα.

322. The perfect active of most verbs is formed by adding -κα (-κε) to the reduplicated stem; of other verbs (especially those with mute or liquid stems) by adding -α (-ε). Perfects in -κα (-κε) are called first perfects; those in -α (-ε) second perfects. Second perfects may best be learned from the principal parts. Except for the κ, they have the same inflection as first perfects.[1]

323. The pluperfect prefixes a syllabic augment when the reduplicated perfect begins with a consonant. Otherwise it retains the reduplicated stem unchanged:

πέφηνα, ἐπεφήνη; ἔσταλκα, ἐστάλκη.

Note the accents of the infinitive and participle. They are typical of these forms and often serve as clues.

[1] The second perfect usually shows the mute of the stem in its rough form: π and β become φ; κ and γ become χ; τ and δ become θ.

Inflect the perfect and pluperfect indicative active of *πέφηνα*; give the perfect infinitive active and the perfect participle active of the same.

324. The perfect participle active uses the endings of the consonant declension in the masculine and neuter, of the **α**-declension in the feminine. The stems should be noted: **ν** is absent before **τ** in the masculine and neuter; also **υι** and short **α** appear in the feminine nominative and accusative singular. The absence of **ν** or the presence of **υι** serve as clues.

PERFECT PARTICIPLE OF **παύω**

πεπαυκώς	πεπαυκυῖα	πεπαυκός
πεπαυκότος	πεπαυκυίᾶς	πεπαυκότος
πεπαυκότι	πεπαυκυίᾳ	πεπαυκότι
πεπαυκότα	πεπαυκυῖαν	πεπαυκός
πεπαυκότες	πεπαυκυῖαι	πεπαυκότα
πεπαυκότων	πεπαυκυιῶν	πεπαυκότων
πεπαυκόσι(ν)	πεπαυκυίαις	πεπαυκόσι(ν)
πεπαυκότας	πεπαυκυίᾶς	πεπαυκότα

325. **VOCABULARY**

δέ-δοικα (δείδω) : *fear.*
εἴ-ληφα (λαμβάνω) : *have taken.*
ἔρ-ρῑφα (ῥίπτω) : *have thrown.*
ἐ-στράτευκα (στρατεύω) : *have made a campaign.*
εὕρηκα [1] (εὑρίσκω) : *have found.*
ᾕρηκα (αἱρέω) : *have seized, have captured.*
ἥρπακα (ἁρπάζω) : [2] *have seized, have plundered.*
λέ-λοιπα (λείπω) : *have left.*
πέ-πεικα (πείθω) : *have persuaded.*
πέ-ποιθα (πείθω) : *have been persuaded, am confident, trust.*
πέ-πομφα (πέμπω) : *have sent.*
πέ-πονθα (πάσχω) : *have experienced, have been treated.*
τέ-θνηκα (θνήσκω) : *be dead.*

[1] Or *ηὕρηκα.* [2] Verbs in **-ζω** (stem **-δ**) drop the **δ** before the **κ** of the perfect as before the **σ** of the future and aorist.

326. EXERCISES

(*a*) What clues are afforded by the portions in heavy type?

λε λοίπαμεν	**ἐ στρατευ κότ ι**	**ἡ ρπά κε σαν**
ἐρρ ῖφ έ ναι	**ἐδε δοί κει**	**ᾔρηκ υῖ αι**

(*b*) Translate:

1. *ἐστρατεύκαμεν δὴ μετὰ τῶν βελτίστων.* 2. *τὴν σάλπιγγα εἰληφὼς πρὸς βασιλέᾱ θεῖ.* 3. *ἐδεδοίκετε δὲ μὴ οὐ πέμψαιμι ὑμῖν τὸν χρῡσόν;* 4. *τοῦ δὲ Κύρου τεθνηκότος οὐκέτι δεῖ ἡμᾶς ἐλαύνειν εἰς τὸ πρόσθεν.* 5. *ἐνομίζετε δὲ τοὺς βαρβάρους τὰ ἄκρα εἰληφέναι ἐν καιρῷ.* 6. *ἐκείνους ἐπεπείκει τὰ αὐτὰ πράττειν.* 7. *ἐπειδὴ δὲ ἥκομεν, οἱ φύλακες ἀπ-ελελοίπεσαν τὸ στρατόπεδον.* 8. *ἔστιν οὖν ὅ τι ὑπ' ἐμοῦ κακὸν πεπόνθατε;* 9. *πότε ὑπ-ώπτευσε τοὺς ἑτέρους τὸν οἶνον ᾠρηκέναι;* 10. *τὰ δὲ ὅπλα ἐρρῑφότες ἐν-έπεσον εἰς τὰς οἰκίᾱς.* 11. *ἡ δὲ βασίλεια ἄγγελον πεπομφυῖα ἐλαύνει πρὸς τὸ Ἑλληνικὸν στράτευμα.*

(*c*) Write in Greek:

1. He fears that they may show themselves (to be) more just than the king. 2. The boy did not become angry when he cut his hand. 3. We were afraid that the more cowardly might not be pleased. 4. They ran at full speed in order to arrive at the fitting moment.

327. A CYNICAL THRUST

Περικλεῖ δὲ *βουλόμενος ἐν-τυχεῖν* (*fall in with, meet*) *ἐπὶ θύρᾱς ἦλθεν αὐτοῦ. πυθόμενος δὲ οὐ σχολάζειν* (*be at leisure*) *ἀλλὰ σκοπεῖν καθ' ἑαυτὸν ὅπως λόγον ἀπο-δώσει* (*render account*) Ἀθηναίοις, *ἀπ-ερχόμενος* ὁ Ἀλκιβιάδης, Εἶτα, ἔφη, *βέλτῑον οὐκ ἦν αὐτὸν σκοπεῖν ὅπως οὐκ ἀπο-δώσει λόγον* Ἀθηναίοις;

Plutarch, *Alcibiades*, VII. 2.

THE HERMES OF PRAXITELES

The ancients seem to have regarded the Hermes less highly than other works of Praxiteles. It is now the most famous statue in the world, since it is the only undoubted original by a known master of first rank.

LESSON LIII

PERFECT MIDDLE AND PASSIVE

Μνημοσύνη μήτηρ Μουσάων. — *Memory, mother of the Muses.*[1]

328. Perfect Middle and Passive. The perfect and pluperfect are formed by adding the proper endings directly to the reduplicated stem with no connecting vowel. The middle (and passive) endings of the present help form the perfect; those of the imperfect help form the pluperfect. The pluperfect, of course, has an augment. Accents are normal except in the infinitive and participle, where the penult is accented. This peculiarity of accent is a convenient clue to the infinitive and participle in the perfect middle (and passive).

Inflect the perfect and pluperfect indicative, the perfect infinitive and participle of παύω in the middle (and passive) voice. Compare with paradigm (§ 527).

329. Stem Changes. *Stems ending in a consonant* naturally undergo various changes through contact with the personal endings. Since it is easy to recognize these forms but a rather complicated matter to inflect them, detailed study is not asked for, but attention is called to the changes.

Note these significant facts:

1. A stem ending in π, β, or φ shows

$$\mu\begin{cases}\mu\alpha\iota\\ \mu\eta\nu\\ \mu\epsilon\theta\alpha\\ \mu\epsilon\nu\circ\varsigma\end{cases}\qquad \psi\begin{cases}\alpha\iota\\ \circ\end{cases}\qquad \pi\begin{cases}\tau\alpha\iota\\ \tau\circ\end{cases}\qquad \phi^{2}\begin{cases}\theta\epsilon\\ \theta\alpha\iota\end{cases}$$

[1] *Hymn to Hermes*, 429-430. [2] The σ between consonants drops out.

2. A stem ending in **κ**, **γ**, or **χ** shows

$$\gamma \begin{cases} \mu\alpha\iota \\ \mu\eta\nu \\ \mu\epsilon\theta\alpha \\ \mu\epsilon\nu\circ\varsigma \end{cases} \qquad \xi \begin{cases} \alpha\iota \\ \circ \end{cases} \qquad \kappa \begin{cases} \tau\alpha\iota \\ \tau\circ \end{cases} \qquad \chi \begin{cases} \theta\epsilon \\ \theta\alpha\iota \end{cases}$$

3. A stem ending in **τ**, **δ**, **θ** shows

$$\sigma \begin{cases} \mu\alpha\iota \\ \mu\eta\nu \\ \mu\epsilon\theta\alpha \\ \mu\epsilon\nu\circ\varsigma \end{cases} \qquad \sigma \begin{cases} \alpha\iota \\ \circ \end{cases} \qquad \sigma \begin{cases} \tau\alpha\iota \\ \tau\circ \end{cases} \qquad \sigma \begin{cases} \theta\epsilon \\ \theta\alpha\iota \end{cases}$$

4. A stem ending in **-ν** shows

$$\sigma \begin{cases} \mu\alpha\iota \\ \mu\eta\nu \\ \mu\epsilon\theta\alpha \\ \mu\epsilon\nu\circ\varsigma \end{cases} \qquad \nu \begin{cases} \sigma\alpha\iota \\ \sigma\circ \end{cases} \qquad \nu \begin{cases} \tau\alpha\iota \\ \tau\circ \end{cases} \qquad \nu \begin{cases} \theta\epsilon \\ \theta\alpha\iota \end{cases}$$

5. A perfect participle and *εἰσί* or *ἦσαν* are used for the third person plural of the perfect or pluperfect indicative middle (and passive) respectively of such verbs.

330. Verbal Adjectives. Verbal adjectives in **-τέος**, **-τέᾱ**, **-τέον** denote *necessity* (like the Latin gerundive).

(*a*) They may be used personally:

διαβατέος ἐστὶν ὁ ποταμός *the river must be crossed.*

(*b*) They may be used impersonally: [1]

πρᾱκτέον ἐστίν *it must be done.*

331. Dative of Agent. The dative of reference, used with a perfect passive or a verbal in **-τέος**, denotes the *agent*: [2]

τοῦτο ἡμῖν πέπρᾱκται *this has been done by us;*
τοῦτο ἡμῖν πρᾱκτέον ἐστίν *this must be done by us.*

---

[1] The impersonal verbal may take an object:

διαβατέον ἐστὶ τὸν ποταμόν *the river must be crossed.*

[2] What uses of the dative have you now had?

332. VOCABULARY

ἀ-τῑμάζω, ἀτῑμάσω, ἠτίμακα, ἠτίμασμαι: *dishonor.*

ἕως, conj.: *while, until.*

θάπτω, θάψω, ἔθαψα, τέθαμμαι: *dig, bury.*

μιμνῄσκω, μνήσω, ἔμνησα: *remind;* μέμνημαι: *remember.* MNEMONIC.

οἰκέω, οἰκήσω, ᾤκησα, ᾤκηκα, ᾤκημαι: *dwell, inhabit.* ECUMENICAL. Cf. **οἰκῑ̄**.

παρασάγγης, -ου, ὁ: *parasang.* A Persian road measure = about 30 stades.

τάφος, -ου, ὁ: *burial, grave.* EPITAPH. Cf. **θάπτω**.

τάφρος, -ου, ἡ: *ditch, trench.* Cf. **θάπτω**.

τῑμή, -ῆς, ἡ: *honor, price.* TIMOCRACY.

333. EXERCISES

(*a*) Locate these forms, giving mood, tense, person, number, and present indicative of the verbs from which they come:

λελεῖφθαι, λελειμμένοι εἰσίν, πέπεμπται, ἐπέπειστο, ἥρπασται, ἐπέφαντο, ἡγμένοι ἦσαν, πέπρᾶξαι, ἐτέταχθε, πέπεισμαι, πεφάνθαι, πεπεμμένος,[1] ἐπέπρᾶκτο, τετάγμεθα, ἠθροῖσθαι, πεφάσμεθα.

(*b*) Translate:

1. ἐνταῦθα παρὰ τὸν ποταμὸν πόλις Ἑλληνικὴ ᾤκητο εὐδαίμων καὶ μεγάλη. 2. καὶ ἕως γε ἐκεῖ μένετε, σκεπτέον μοι δοκεῖ ὅπως ὡς ἀσφαλέστατα μενεῖτε. 3. ἐὰν δὲ εὖ γένηταί τι, οὐ μεμνήσεσθαί[2] σέ φᾶσιν. 4. τὸ δὲ σῶμα αὐτοῦ ἐνταῦθα τέθαπται ὅπου ἀπ-έθανε μαχόμενος. 5. οὐκέτι μέντοι διὰ τὸν χρόνον πολὺν ὄντα πάντα μέμνημαι. 6. οὗτος δὲ κακῖων γενόμενος τῶν ἄλλων τῷ στρατηγῷ ἠ-τίμαστο. 7. πορευτέον δ' ἡμῖν πολλοὺς παρασάγγᾱς πρὶν εἰς τὴν τάφρον ἀφ-ικέσθαι. 8. οὗτος ὁ τάφος τῑμῆς[3] μεγάλης ἐπεποίητο. 9. σπεύσει ὁ λόχος ἕως ἂν φανερὰ γένηται ἡ τάφρος.

---

[1] Because three μ's are unpronounceable, one μ is dropped.

[2] Future perfect = future.

[3] Genitive of price.

(*c*) Write in Greek:

1. The pursuers have not found his body. 2. They are confident that the king has captured the largest cities. 3. The messenger has persuaded the Greeks that Cyrus is dead. 4. Your mother had sent some one to report his death.

334. CHRIST AND THE TEMPTER

Γέγραπται, Οὐκ ἐπ' ἄρτῳ (*bread*) μόνῳ ζήσεται (*live*) ὁ[1] ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι (*word*) ἐκ-πορευομένῳ διὰ στόματος θεοῦ.

St. Matthew, IV. 4.

335. A NARROW ESCAPE

τῇ δ' αὐτῇ ἡμέρᾳ Κλέαρχος ἐλθὼν ἐπὶ τὴν διά-βασιν (compare **δια-βαίνω**) τοῦ ποταμοῦ καὶ ἐκεῖ κατα-σκεψάμενος τὴν ἀγορὰν ἀφ-ιππεύει ἐπὶ τὴν ἑαυτοῦ σκηνὴν διὰ τοῦ Μένωνος στρατεύματος σὺν ὀλίγοις τοῖς περὶ αὐτόν· Κῦρος δὲ οὔπω ἦκεν, ἀλλ' ἔτι προσ-ήλαυνε· τῶν δὲ Μένωνος στρατιωτῶν ξύλα (compare XYLOPHONE) σχίζων (compare SCHISM) τις, ὡς ἐθεώρει Κλέαρχον δι-ελαύνοντα, ἔβαλε τὴν ἀξίνην (*ax*)· καὶ οὗτος μὲν αὐτοῦ[2] ἥμαρτεν (*missed*)· ἄλλος δὲ λίθον καὶ ἄλλος, εἶτα πολλοί, κραυγῆς γενομένης. ὁ δὲ κατα-φεύγει εἰς τὸ ἑαυτοῦ στράτευμα, καὶ εὐθὺς παρ-αγγέλλει εἰς τὰ ὅπλα· καὶ τοὺς μὲν ὁπλίτας αὐτοῦ (*there*) ἐκέλευσε μεῖναι τὰς ἀσπίδας πρὸς τὰ γόνατα (*knees*) ἔχοντας, αὐτὸς δὲ λαβὼν τοὺς Θρᾷκας ἤλαυνεν ἐπὶ τοὺς Μένωνος, ὥστε ἐκείνους ἐκ-πεπλῆχθαι καὶ αὐτὸν Μένωνα, καὶ τρέχειν ἐπὶ τὰ ὅπλα.

Xenophon, *Anabasis*, I. 5. 12–13.

(*To be continued*)

---

[1] The article is sometimes used in a generic sense and denotes one class as distinguished from other classes. Compare the French use of *le*: *l'homme est mortel*.

[2] A verb meaning *to miss* governs the genitive.

THE PORCH OF THE MAIDENS

For different views of this porch of the Erechtheum, see pages 74 and 334.

LESSON LIV

FUTURE AND AORIST PASSIVE[1]

τὸ νῑκᾶν αὐτὸν αὑτὸν πᾶσῶν νῑκῶν πρώτη τε καὶ ἀρίστη.
Self-mastery is the first and noblest victory of all.[2]

336. The first aorist passive forms its stem by adding **θη** (in indicative and infinitive) or **θε** (in subjunctive, optative, and participle) to the verb stem. To this are added the personal endings of the *active* voice. Contraction (**ε** + **ω**, **η**, **ῃ**) occurs throughout the subjunctive. The mood sign of the optative in the singular is **ιη**; in the plural **ι** and **ιε** (§ 187). These combine to form **ειη**, **ει**, **ειε**.

First Aorist Indicative Passive of **παύω**

ἐ-παύ-θη-ν	ἐ-παύ-θη-μεν
ἐ-παύ-θη-ς	ἐ-παύ-θη-τε
ἐ-παύ-θη	ἐ-παύ-θη-σαν

First Aorist Subjunctive Passive

(παυ-θέ-ω) παυ θῶ	(παυ-θέ-ωμεν) παυ θῶμεν
(παυ-θέ-ῃς) παυ θῇς	(παυ-θέ-ητε) παυ θῆτε
(παυ-θέ-ῃ) παυ θῇ	(παυ-θέ-ωσι) παυ θῶσι

First Aorist Optative Passive

παυ θείην	παυ θεῖμεν or παυ θείημεν
παυ θείης	παυ θεῖτε or παυ θείητε
παυ θείη	παυ θεῖεν or παυ θείησαν

First Aorist Infinitive Passive παυ θῆναι

First Aorist Participle Passive παυ θείς, -εῖσα, -έν

[1] The imperative is omitted because of its great rarity.
[2] Plato, *Laws*, 626 *E*.

337. All vowel stems have aorist passives like *ἐπαύθην*. Before **θ**, stems ending in **π** or **β** roughen to **φ**, those in **κ** or **γ** roughen to **χ**. Stems ending in **τ**, **δ**, **θ** change to **σ**:

πεμπ-, ἐπέμφθην; *ἀγ-, ἤχθην*; *ἁρπαδ-, ἡρπάσθην*.

338. The aorist participle passive has the endings of the consonant declension in the masculine and neuter, of the **α**-declension in the feminine. In the nominative masculine singular and the dative masculine and neuter plural **ντ** drops out and **ε** lengthens to **ει** (§ 107).

First Aorist Participle Passive of **παύω**

παυθείς	*παυθεῖσα*	*παυθέν*
παυθέντος	*παυθείσης*	*παυθέντος*
παυθέντι	*παυθείσῃ*	*παυθέντι*
παυθέντα	*παυθεῖσαν*	*παυθέν*
παυθέντες	*παυθεῖσαι*	*παυθέντα*
παυθέντων	*παυθεισῶν*	*παυθέντων*
παυθεῖσι(ν)	*παυθείσαις*	*παυθεῖσι(ν)*
παυθέντας	*παυθείσᾱς*	*παυθέντα*

339. A second aorist passive appears in some verbs Such a form lacks **θ**. Otherwise, both as to form and meaning, a second aorist passive is the same as a first aorist passive.

Inflect the indicative, subjunctive, optative, infinitive, and participle of *γράφω* in the aorist passive (*ἐγράφην*). Compare with paradigm (§ 533).

340. The future passive forms its stem by adding **σο** (**σε**) to the stem of the aorist passive. It uses the personal endings of the present passive: first future passive, *παυ-θή-σο-μαι*; second future passive, *γραφ-ή-σο-μαι*.

Except for the difference in stem (the addition of *θη*), the future passive is inflected like the future middle.

Inflect the future indicative, optative, infinitive, and participle passive of *παύω* and *γράφω*. Compare with paradigms (§§ 528, 533).

341. VOCABULARY

ἀ-μελέω, ἀμελήσω, ἠμέλησα, ἠμέληκα, ἠμέλημαι: *be careless, neglect*, with G. Cf. **μέλει**.

δέομαι, δεήσομαι, δεδέημαι, ἐδεήθην: *lack, need, want, desire, request.* Freq. with G., or with G. of pers. and inf. Cf. **δεῖ**.

δια-τρῑ́βω, -τρῑ́ψω, -έτρῑψα, -τέτρῑφα, -τέτρῑμμαι, -ετρίβην: *rub through* or *away, spend, waste* (time), *delay.* DIATRIBE.

ὁπλίζω, ὥπλισα, ὥπλισμαι, ὡπλίσθην: *arm, equip.* Cf. **ὅπλα**.

παλτόν, -οῦ, τό: *javelin.*

φύσις, -εως, ἡ: *nature.* PHYSICS.

342. EXERCISES

(*a*) Translate:

1. *οἱ Ἀθηναῖοι τῶν πολῑτῶν ἐδεήθησαν τριήρεις πέμψαι ὡς πλείστᾱς.* 2. *κατὰ φύσιν νόμος ἐστὶν ὁ πάντων βασιλεύς.* 3. *τῷ δὲ εὕρει τῷ τοῦ ποταμοῦ πολὺς χρόνος δι-ετρίβη ὑπὸ τῶν διωκόντων, ὥστε οἱ φυγάδες ἐξ-έφυγον.* 4. *ἐπιστολὴ δὲ γραφήσεται παρὰ βασιλέᾱ, ἐπὰν ᾖ καιρός.* 5. *λαβὼν τὰ παλτὰ εἰς τὰς χεῖρας ἐβοή-θησε τῷ ἥττονι.* 6. *ὦ ἄνδρες, ἐάν μοι πεισθῆτε, ἐν τῇ μεγίστῃ τῑμῇ ἔσεσθε.* 7. *ἐξ-οπλισθέντες οἱ κράτιστοι οὐ δεδοίκᾶσι μὴ κακὰ πάθωσιν.* 8. *ἃ μελοῦντες κινδύνου οὐκ ἤθελον εἰς φυγὴν τραπῆναι.*

(*b*) Write in Greek:

1. While we remain, we must see to it that we remain safely. 2. We remembered that they had not stopped at the trench. 3. The large monument has been destroyed by the captain and his men. 4. Because of the breadth of the river, you must cross in a boat.

343. A NARROW ESCAPE — *Continued*

ὁ δὲ Πρόξενος (ὕστερος γὰρ προσ-ῆλθε καὶ τῶν ὁπλῑτῶν τινες αὐτῷ εἵποντο) εὐθὺς εἰς τὸ μέσον ἄγων ἐδεῖτο τοῦ

Κλεάρχου μὴ ποιεῖν ταῦτα. ὁ δ' ἐχαλέπαινεν ὅτι οὕτω πρᾴως (*mildly*) λέγοι τὸ αὐτοῦ πάθος (compare πάσχω), ἐκέλευσέ τε αὐτὸν ἐκ τοῦ μέσου ἐξ-ίστασθαι (*stand out*). ἐν τούτῳ προσ-ῆλθε καὶ Κῦρος καὶ ἐπύθετο τὸ πρᾶγμα· εὐθὺς δ' ἔλαβε τὰ παλτὰ εἰς τὰς χεῖρας καὶ σὺν τοῖς παρ-οῦσι τῶν πιστῶν ἦκεν ἐλαύνων εἰς τὸ μέσον καὶ λέγει τάδε. Κλέαρχε καὶ Πρόξενε καὶ οἱ ἄλλοι οἱ παρ-όντες Ἕλληνες, τί ποιεῖτε; εἰ γὰρ ἀλλήλοις μαχεῖσθε, ἐν τῇδε τῇ ἡμέρᾳ ἐγὼ κατα-κεκόψομαι[1] καὶ ὑμεῖς οὐ πολὺ ἐμοῦ ὕστερον· κακῶς[2] γὰρ τῶν ἡμετέρων ἐχόντων πάντες οὗτοι οἱ βάρβαροι πολεμιώτεροι ἡμῖν ἔσονται τῶν παρὰ βασιλεῖ ὄντων. ἀκούσᾱς ταῦτα ὁ Κλέαρχος ἐν ἑαυτῷ ἐγένετο· καὶ ἐπαύσαντο ἀμφότεροι.

THE VICTORY OF PÆONIUS

This memorial of a naval victory is one of Olympia's chief treasures. It represents Victory as a goddess about to alight on the prow of a ship.

Xenophon, *Anabasis*, I. 5. 14–17.

---

[1] Future perfect passive of κατα-κόπτω, a rare form easily recognized from the reduplication and σ%.

[2] An adverb with ἔχω is very common instead of the corresponding adjective with εἰμί.

LESSON LV

PRINCIPAL PARTS

ἐννέα τὰς Μούσᾱς φᾱσίν τινες· ὡς ὀλιγώρως·
ἠνίδε καὶ Σαπφὼ Λεσβόθεν ἡ δεκάτη.
Some say the Muses are nine. How careless!
Lo, Lesbian Sappho is the tenth.[1]

344. A normal verb has six principal parts: the first person singular indicative of the present, future, aorist, perfect, perfect middle, and aorist passive. These supply the stems for the various tenses (with all the moods of each) in the three voices (§ 548).

345. One or more parts are lacking in very many verbs, which therefore are not inflected or used in the tenses thus lacking. In many verbs one or more of the parts are irregular as to form.

346. Deponents that have an aorist middle are called *middle deponents:*

πυνθάνομαι, πεύσομαι, ἐπυθόμην.

Those that have an aorist passive but no aorist middle are called *passive deponents:*

βούλομαι, βουλήσομαι, ἐβουλήθην.

Middle deponents sometimes have an aorist passive with passive meaning:

κτάομαι *I acquire,* ἐκτησάμην *I acquired,* ἐκτήθη *it was acquired.*

[1] Greek Anthology.

347. Principal Parts of Verbs Already Presented[1]

Pres.	*Fut.*	*Aor.*	*Perf.*	*Perf. Mid.*	*Aor. Pass.*
1	2	3	4	5	6
ἀγγέλλω	ἀγγελῶ	ἤγγειλα	ἤγγελκα	ἤγγελμαι	ἠγγέλθην
ἄγω	ἄξω	ἤγαγον	ἦχα	ἦγμαι	ἤχθην
αἱρέω	αἱρήσω	εἷλον	ᾕρηκα	ᾕρημαι	ᾑρέθην
αἰσθάνομαι	αἰσθήσομαι	ᾐσθόμην	ᾔσθημαι		
ἀκούω	ἀκούσομαι	ἤκουσα	ἀκήκοα		ἠκούσθην
ἁλίσκομαι	ἁλώσομαι	ἑάλων	ἑάλωκα		
ἀπο-θνῄσκω	ἀπο-θανοῦμαι	ἀπ-έθανον	τέθνηκα		
ἀπο-κτείνω	ἀπο-κτενῶ	ἀπ-έκτεινα	ἀπ-έκτονα		
ἀφ-ικνέομαι	ἀφ-ίξομαι	ἀφ-ῖκόμην		ἀφ-ῖγμαι	
βαίνω	βήσομαι	ἔβην	βέβηκα		
βάλλω	βαλῶ	ἔβαλον	βέβληκα	βέβλημαι	ἐβλήθην
βούλομαι	βουλήσομαι			βεβούλημαι	ἐβουλήθην
γίγνομαι	γενήσομαι	ἐγενόμην	γέγονα	γεγένημαι	
γιγνώσκω	γνώσομαι	ἔγνων	ἔγνωκα	ἔγνωσμαι	ἐγνώσθην
δέδοικα (perf. as pres.)		ἔδεισα			
δεῖ	δεήσει	ἐδέησε			
δέομαι	δεήσομαι			δεδέημαι	ἐδεήθην
δοκέω	δόξω	ἔδοξα		δέδογμαι	-εδόχθην[2]
ἐθέλω	ἐθελήσω	ἠθέλησα	ἠθέληκα		
εἰμί	ἔσομαι				
εἶπον (2d aor.)					
ἐλαύνω	ἐλῶ	ἤλασα	-ελήλακα[2]	ἐλήλαμαι	ἠλάθην
ἐπ-αινέω	ἐπ-αινέσω	ἐπ-ῄνεσα	ἐπ-ῄνεκα	ἐπ-ῄνημαι	ἐπ-ῃνέθην
ἐπι-μελέομαι	ἐπι-μελήσομαι			ἐπι-μεμέλημαι	ἐπ-εμελήθην
ἕπομαι	ἕψομαι	ἑσπόμην			
ἔρχομαι	ἐλεύσομαι	ἦλθον	ἐλήλυθα		
εὑρίσκω	εὑρήσω	ηὗρον	ηὕρηκα	ηὕρημαι	ηὑρέθην
ἔχω	ἕξω or σχήσω	ἔσχον	ἔσχηκα	-έσχημαι[2]	
ἥδομαι	ἡσθήσομαι				ἥσθην
καλέω	καλῶ	ἐκάλεσα	κέκληκα	κέκλημαι	ἐκλήθην
κλέπτω	κλέψω	ἔκλεψα	κέκλοφα	κέκλεμμαι	ἐκλάπην
κρίνω	κρινῶ	ἔκρῑνα	κέκρικα	κέκριμαι	ἐκρίθην

[1] Verbs that conform to type have been omitted; also those that are not very common in tenses other than the present. [2] Only in compounds.

1	2	3	4	5	6
λαμβάνω	λήψομαι	ἔλαβον	εἴληφα	εἴλημμαι	ἐλήφθην
λείπω	λείψω	ἔλιπον	λέλοιπα	λέλειμμαι	ἐλείφθην
μανθάνω	μαθήσομαι	ἔμαθον	μεμάθηκα		
μάχομαι	μαχοῦμαι	ἐμαχεσάμην		μεμάχημαι	
μιμνῄσκω	-μνήσω [1]	-έμνησα [1]		μέμνημαι	ἐμνήσθην
νομίζω	νομιῶ	ἐνόμισα	νενόμικα	νενόμισμαι	ἐνομίσθην
πάσχω	πείσομαι	ἔπαθον	πέπονθα		
πείθω	πείσω	ἔπεισα	πέπεικα πέποιθα	πέπεισμαι	ἐπείσθην
πέμπω	πέμψω	ἔπεμψα	πέπομφα	πέπεμμαι	ἐπέμφθην
πίπτω	πεσοῦμαι	ἔπεσον	πέπτωκα		
πυνθάνομαι	πεύσομαι	ἐπυθόμην		πέπυσμαι	
[σκέπτομαι]	σκέψομαι	ἐσκεψάμην		ἔσκεμμαι	
σκοπέω (σκέπτομαι supplies the rest)					
σπεύδω	σπεύσω	ἔσπευσα			
τείνω	τενῶ	ἔτεινα	τέτακα	τέταμαι	ἐτάθην
τέμνω	τεμοῦμαι	ἔτεμον	τέτμηκα	τέτμημαι	ἐτμήθην
τρέπω	τρέψω	ἔτρεψα	τέτροφα	τέτραμμαι	ἐτράπην
τρέφω	θρέψω	ἔθρεψα	τέτροφα	τέθραμμαι	ἐτράφην
ὑπ-ισχνέομαι	ὑπο-σχήσομαι	ὑπ-εσχόμην		ὑπ-έσχημαι	
φαίνω	φανῶ	ἔφηνα	πέφηνα	πέφασμαι	ἐφάνην
φέρω	οἴσω	ἤνεγκα	ἐνήνοχα	ἐνήνεγμαι	ἠνέχθην
φεύγω	φεύξομαι	ἔφυγον	πέφευγα		
φημί	φήσω	ἔφησα			
χαλεπαίνω	χαλεπανῶ	ἐχαλέπηνα			

Learn the principal parts that are new and give the meaning of each present indicative.

348. EXERCISE

Write in Greek:

1. The javelins were found on the wagons before (any) time was wasted. 2. (Because) the city was (*being*) captured, we had to proceed to the mountain. 3. The messenger said that the letter would not be written. 4. The next day we learned that your money was stolen. 5. The boy is afraid that he may be chosen instead of his brother.

[1] Only in compounds.

349. SYNOPSIS OF **παύω**[1]

ACTIVE

	Pres.	*Imperf.*	*Fut.*	*Aor.*	*Perf.*	*Pluperf.*
	1	1	2	3	4	4
IND.	παύω	ἔπαυον	παύσω	ἔπαυσα	πέπαυκα	ἐπεπαύκη
SUBJV.	παύω			παύσω		
OPT.	παύοιμι		παύσοιμι	παύσαιμι		
IMV.	παῦε			παῦσον		
INF.	παύειν		παύσειν	παῦσαι	πεπαυκέναι	
PART.	παύων		παύσων	παύσᾶς	πεπαυκώς	

MIDDLE

	1	1	2	3	5	5
IND.	παύομαι	ἐπαυόμην	παύσομαι	ἐπαυσάμην	πέπαυμαι	ἐπεπαύμην
SUBJV.	παύωμαι			παύσωμαι		
OPT.	παυοίμην		παυσοίμην	παυσαίμην		
IMV.	παύου			παῦσαι		
INF.	παύεσθαι		παύσεσθαι	παύσασθαι	πεπαῦσθαι	
PART.	παυόμενος		παυσόμενος	παυσάμενος	πεπαυμένος	

PASSIVE

			6	6		
IND.	Like Mid.	Like Mid.	παυθήσομαι	ἐπαύθην	Like Mid.	Like Mid.
SUBJV.	" "			παυθῶ		
OPT.	" "		παυθησοίμην	παυθείην		
IMV.	" "			—		
INF.	" "		παυθήσεσθαι	παυθῆναι	" "	
PART.	" "		παυθησόμενος	παυθείς	" "	

350. λείπω has a second aorist active and middle where παύω has a first aorist. γράφω has a second aorist passive where παύω has a first aorist.

Give a complete synopsis of λείπω in the active and middle; of γράφω in the active and passive.

---

[1] The numerals that head the several columns denote the *principal part* on which the form is based.

351. THE JEALOUS LOVER

The following lines are the first stanza of a poem by Sappho, called by an early critic "a congress of passions harmonized into faultless phrase."

φαίνεταί μοι κῆνος (= ἐκεῖνος) ἴσος θέοισιν
ἔμμεν (= εἶναι) ὤνηρ (= ὁ ἀνήρ), ὅστις ἐναντίος τοι (= σοι)
ἰξάνει (*sits*) καὶ πλᾱσίον (*near*) ἆδυ (= ἡδύ) φωνεύσᾱς (compare TELEPHONE) ὑπ-ακούει.[1]

SAPPHO AND ALCÆUS

This painting by Alma Tadema shows the poet Alcæus singing to his own accompaniment before Sappho and her circle of Lesbian maidens.

J. A. Symonds has translated it into English Sapphics:

Peer of gods he seemeth to me, the blissful
Man who sits and gazes at thee before him,
Close beside thee sits, and in silence hears thee
Silverly speaking.

[1] This poem has been translated into Latin by Catullus (51) who apes the meter but cannot preserve the charm. The Æolic dialect in which Sappho wrote is characterized by smooth breathing and recessive accent.

LESSON LVI

NUMERALS

εἷς ἀνὴρ οὐδεὶς ἀνήρ. — *In union there is strength.*[1]

352. CARDINAL NUMBERS.

1. εἷς, μία, ἕν: *one.* HENDIADYS, HYPHEN.
   μη-δ-είς, μη-δε-μία, μη-δ-έν: *no one, no.*
   οὐ-δ-είς, οὐ-δε-μία, οὐ-δ-έν: *no one, no.*
2. δύο [δι- as prefix; DIMETER]. Lat. *duo.* DUET.
3. τρεῖς, τρία. TRIAD, TRIGONOMETRY.
4. τέτταρες, τέτταρα. TETRAHEDRON.
5. πέντε. PENTAGON.
6. ἕξ. HEXAMETER.
7. ἑπτά. HEPTAMETER.
8. ὀκτώ. OCTOPUS.
9. ἐννέα. ENNEAD.
10. δέκα. DECALOGUE.
11. ἕν-δεκα. HENDECASYLLABIC.
12. δώ-δεκα. DODECANESE.
13. τρεῖς καὶ δέκα.
14. τέτταρες καὶ δέκα.
15. πεντε-καί-δεκα.
16. ἑκ-καί-δεκα.
17. ἑπτα-καί-δεκα.
18. ὀκτω-καί-δεκα.
19. ἐννεα-καί-δεκα
20. εἴκοσι(ν).
21. εἷς καὶ εἴκοσι, εἴκοσι καὶ εἷς, εἴκοσιν εἷς.
30. τριάκοντα.
100. ἑκατόν. HECATOMB.
200. διακόσιοι.
1000. χίλιοι.
2000. δισ-χίλιοι.
10000. μύριοι. MYRIAD.

-κοντα indicates the tens (*-ty*) from *thirty* to *ninety*.

-κόσιοι indicates the hundreds from *200* to *900*, which are inflected.

[1] Greek maxim. Literally: *One man, no man.*

353 INFLECTION OF CARDINAL NUMBERS.

εἷς *one*

εἷς	μία	ἕν
ἑνός	μιᾶς	ἑνός
ἑνί	μιᾷ	ἑνί
ἕνα	μίαν	ἕν

οὐδείς (and μηδείς) are inflected like εἷς with οὐδ- (μηδ-) prefixed to the masculine and neuter, οὐδε- (μηδε-) to the feminine. The accent of the nominative masculine is acute. Inflect οὐδείς. Compare with paradigm (§ 517).

τρεῖς *three*		τέτταρες *four*	
(m and f.)	(n.)	(m. and f.)	(n.)
τρεῖς	τρία	τέτταρες	τέτταρα
τριῶν	τριῶν	τεττάρων	τεττάρων
τρισί(ν)	τρισί(ν)	τέτταρσι(ν)	τέτταρσι(ν)
τρεῖς	τρία	τέτταρας	τέτταρα

354. Genitive of Measure. The genitive denotes *measure* of *space*, *time*, or *value*:[1]

ἑπτὰ σταδίων τεῖχος *a wall seven stades long.*

355. EXERCISES

(*a*) Translate:

1. Ἀρίστιππος δὲ Κῦρον αἰτεῖ μισθὸν εἰς δισ-χῑλίους ξένους καὶ τριῶν μηνῶν. 2. ἐντεῦθεν ἐξ-ελαύνει διὰ τῆς Λυδίᾱς σταθμοὺς τέτταρας παρασάγγᾱς εἴκοσι καὶ δύο ἐπὶ τὸν Μαίανδρον ποταμόν. 3. ἐνταῦθα ἐπὶ τῇ τάφρῳ ἔμεινεν ἡμέρᾱς ἑπτά. 4. ἡ δὲ γυνὴ προτέρᾱ Κύρου ἓξ ἡμέραις ἀφίκετο. 5. ἐντεῦθεν ἐξ-ελαύνει σταθμοὺς τρεῖς παρασάγγᾱς ὀκτω-καίδεκα ἐπὶ τὸν Εὐφράτην ποταμόν, ὄντα τὸ εὖρος[2] τεττάρων σταδίων. 6. ἔστι δὲ τριᾰ́-κοντα ἡμερῶν ὁδὸς ἀπὸ τῆς ἡμετέρᾱς πόλεως.

[1] What uses of the genitive have you now had?

[2] Accusative of respect (page 144, note 2).

(*b*) Complete:

1. τρεῖς καὶ ἕξ εἰσι —— . 2. δέκα καὶ δέκα εἰσὶ —— . 3. ἕνδεκα καὶ δώδεκά εἰσι —— . 4. τὰ ἑξά-κις[1] πέντε ἐστὶ —— . 5. τὰ δεκά-κις ἑκατόν ἐστι —— . 6. τὰ πεντά-κις —— ἐστι τετταρά-κοντα. 7. ἔστι τὰ δώδεκα δὶς —— ἢ τρὶς —— ἢ τετρά-κις —— ἢ ἑξά-κις —— .

356. GREEK VIEWS ON DEATH

(*a*) Socrates at the age of seventy was tried in Athens on a charge of impiety. The spirit that pervades his defense, as recorded by Plato in the *Apology*, is sufficient proof to modern minds that he was innocent; but he was condemned to death. Among other notable utterances addressed to friends and foes after the verdict, is the following characteristic statement of his creed.



SOCRATES

Ἀλλὰ καὶ ὑμᾶς χρή, ὦ ἄνδρες δικασταί, εὐ-έλπιδας εἶναι πρὸς τὸν θάνατον, καὶ ἕν τι τοῦτο ἡγεῖσθαι ἀληθές, ὅτι οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν οὐδὲν οὔτε ζῶντι (*living*, compare ZOÖLOGY) οὔτε τεθνηκότι, οὐδὲ ἀμελεῖται ὑπὸ θεῶν τὰ τούτου πράγματα.

Plato, *Apology*, 41 C, D.

(*b*) While few pagans of any age could approximate the sublime faith of such an utterance, in general the

[1] Numeral adverbs, except ἅπαξ *once*, δὶς *twice*, τρὶς *three times*, end in -κις.

sepulchral monuments and writings of the Greeks display a manly attitude toward death. The following verses are taken from a play written by Euripides :

ἔφυ (*lives*) μὲν οὐδεὶς ὅστις
οὐ πονεῖ (*has trouble*) βροτῶν (*of mortals*),
θάπτει τε τέκνα (*children*)
χἄτερα (= καὶ ἕτερα)
κτᾶται (*obtains*) νέα,
αὐτός τε θνήσκει, καὶ τάδ' ἄχθονται βροτοὶ
εἰς γῆν φέροντες γῆν·
ἀναγκαίως δ' ἔχει
βίον θερίζειν (*harvest*)
ὥστε (*as*) κάρπιμον
(*ripe*) στάχυν (*grain*),
καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή· τί ταῦτα δεῖ
στένειν (*bemoan*), ἅ-περ
(stronger than ἃ) δεῖ
κατὰ φύσιν δι-εκ-περᾶν
(*go through*);
δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς.

Euripides, fragment.

HEGESO

This tombstone is famous for its dignity and beauty and also for the simplicity of its inscription : ΗΓΗΣΩΠΡΟΞΕΝΟ, Hegeso (wife) of Proxenos.

LESSON LVII

REVIEW

Φιλοσοφίᾱ Βίου Κυβερνήτης. — *Philosophy the Guide of Life.*[1]

357. ASSIGNMENTS

(*a*) Review vocabulary, § 555, following the method indicated in § 27, *a*. Give principal parts of the verbs.

(*b*) Name and define the Greek words suggested by *heterogeneous*, *eleutheromania*, *criterion*, *diaphanous*, *Acropolis*, *dromedary*, *phanerogam*, *George*, *antistrophe*, *emblem*, *geometry*, *bema*, *enallage*, *mesolithic*, *telescope*, *mathematics*, *appendectomy*, *hexahedral*, *hendecagon*, *octastyle*, *pentathlon*, *heptad*, *eirenicon*.

(*c*) Add ten words to this list.

(*d*) Inflect μηδείς.

(*e*) Give complete synopsis of κελεύω in the third person singular active; γίγνομαι in the third person singular middle; πλήττω in the third person plural passive.

(*f*) What indications of mood and tense appear in heavy type?

ἥρπα **σται**	πέ **πομ φε**	λε λει **μμ** *ένος* **ῆ**	λυ **θείη**
φαν **ῆναι**	ἀγγε **λεῖ σθαι**	τε τά **χθαι**	τραπ **ήσεται**
κρί **ναιεν**	ἐ **παύ σω**	μαθ έ **τω**	ἠθροι **σμένοι ἦσαν**

(*g*) What clues are given by the accents:[2]

κρίνοιεν, κρῖνοῖεν, κώλῦσαι, κωλῦσαι, ἠθροικώς, φυγών, ἐστρατευμένον, γενέσθαι, φιλεῖ, φίλει, μαχεῖται, ἀγγέλλουσι, ἀγγελοῦσι, εἰλῆφθαι, ᾖσθου, αἰσθοῦ.

[1] Motto of the Phi Beta Kappa Society.

[2] Of course, other clues are to be found in most of these verbs.

358. EXERCISES

(*a*) Complete:

1. εἴθε μηδε— τῶν γυναικῶν μαθ— τὸ τεῖχος λελυ— τ— πολεμι— (plural). 2. καὶ γὰρ φόβος ἐστὶ τοῖς ἡττ— γενομένοις μὴ δια-τριβόμενοι ἀ-τῑμασθ—. 3. μὴ Κῦρον αἰτ—τε —— (1000) ξένους. 4. —δενι μέλει ὅπως ὠφελ— τοὺς γέροντας. 5. μὴ νομισ—τε τοὺς —— (10,000) Ἕλληνας οὐ κακὰ πεπονθ— ὑπὸ πολλ— βαρ-βαρ—. 6. ὁ δὲ ἐλπίζει ἀμφοτέρους λόχους μάλα θαρρησ— πρὸς τ— ἀνα-βασ—.

(*b*) Write in Greek:

1. Judge not that you be not judged. 2. Now that the commander is dead[1] we must cross the trench. 3. Would that they may show themselves worthy of their freedom! 4. From there he marches three days' journey, twenty-one parasangs. 5. Did you report that five generals were chosen by the captains? 6. We were afraid that the tomb might be dishonored.

[1] Use genitive absolute.

Phi Beta Kappa Key

LESSON LVIII

READING

ζητῶ γὰρ τὴν ἀλήθειαν, ὑφ' ἧς οὐδεὶς πώποτε ἐβλάβη.
For I seek the truth, by which no man was ever harmed.[1]

359. VOCABULARY

ἐν-αντίος, -ᾱ, -ον: *facing, confronting,* with G. or D.; **οἱ ἐν-αντίοι**: *the opponents.*

ἔρημος, -η, -ον: *desert, deserted, lonely, deprived of.* HERMIT.

ἱερός, -ά, -όν: *sacred, holy;* **τὸ ἱερόν**: *the holy place,* i.e., *temple;* **τὰ ἱερά**: *sacrifices, sacrificial victims.* HIERARCHY.

πωλέω, πωλήσω, ἐπώλησα: *sell.* MONOPOLY.

360. THE ORIGINAL RESEARCH MAN

Οἱ δὲ Αἰγύπτιοι πρὶν μὲν Ψαμμήτιχον αὐτῶν βασιλεῦσαι, ἐνόμιζον ἑαυτοὺς πρώτους γενέσθαι πάντων ἀνθρώπων. ἐπειδὴ δὲ Ψαμμήτιχος βασιλεύσᾱς ἠθέλησε πυθέσθαι οἵτινες γένοιντο πρῶτοι, ἀπὸ τούτου νομίζουσι Φρύγας προτέρους γενέσθαι ἑαυτῶν, τῶν δὲ ἄλλων ἑαυτούς. Ψαμμήτιχος γάρ, ἵνα ταῦτα πύθοιτο, ἐποίει τάδε· παιδία (diminutive of παῖς) δύο νεο-γνὰ (*new born*) κελεύει ποιμένα (*herdsman*) οὕτω τρέφειν ὥστε μηδένα ἐν-αντίον αὐτῶν μηδὲν εἰπεῖν, ἀλλὰ τὰ μὲν παιδία καθ' αὑτὰ εἶναι ἐν οἰκίᾳ ἐρήμῃ, τὸν δὲ ποιμένα ἐν καιρῷ ἐπ-άγειν αὐτοῖς αἶγας (*goats*), ἵνα γάλα (compare GALACTIC) ἔχοι τὰ παιδία. ταῦτα δὲ ἐποίει τε καὶ ἐκέλευσεν

[1] Marcus Aurelius, *Meditations*, VI. 21.

ὁ Ψαμμήτιχος ἐθέλων ἀκοῦσαι τῶν παιδίων ἥντινα φωνὴν ῥήξουσι (*give forth*) πρώτην. μετὰ δ' οὖν χρόνον οὐκ ὀλίγον ἐπεὶ ὁ ποιμὴν εἰς ἐκείνην τὴν οἰκίαν εἰσ-ήρχετο, τὰ παιδία ἀμφότερα προσ-πίπτοντα "βεκὸς" εἶπον καὶ τὰς χεῖρας ἀνέτεινον. ἀκούσᾶς δὲ καὶ αὐτὸς ὁ Ψαμμήτιχος ἐπυνθάνετο οἵτινες ἀνθρώπων βεκός τι καλοῦσι, πυνθανόμενος δὲ εὗρισκε[1] Φρύγας καλοῦντας τὸν ἄρτον (*bread*). οὕτως οὖν ὡμολόγησαν οἱ Αἰγύπτιοι τοὺς Φρύγας πρεσβυτέρους εἶναι ἑαυτῶν.

MARCUS AURELIUS

This Roman emperor is famous for his writings in Greek.

Adapted from Herodotus, II. 2. 1–5.

361. BUSINESS AND RELIGION

καὶ εἰσ-ῆλθεν Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ θεοῦ καὶ ἐξ-έβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ . . . . . καὶ λέγει αὐτοῖς, Γέγραπται, ὁ οἶκός μου οἶκος προσ-ευχῆς (compare **εὔχομαι**) κληθήσεται, ὑμεῖς δὲ αὐτὸν ποιεῖτε σπήλαιον (*cave*) ληστῶν (*robbers*). καὶ προσ-ῆλθον αὐτῷ τυφλοὶ (*blind*) καὶ χωλοὶ (*lame*) ἐν τῷ ἱερῷ καὶ ἐθεράπευσεν αὐτούς. ἰδόντες (*having seen*) δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὰ θαυμάσια (compare **θαυμάζω**) ἃ ἐποίησεν . . . . . ἠγανάκτησαν (= ἐχαλέπηναν).

St. Matthew XXI. 12–16.

---

[1] Verbs beginning with a diphthong do not always have augment.

LESSON LIX

PRESENT OF ἵστημι

τῷ σοφῷ ξένον οὐδέν. — *To the wise nothing is foreign.*[1]

362. MI-Verbs. All verbs thus far studied, except εἰμί, have been ω-verbs and use the variable vowel ο or ε (ω or η) before the personal endings. Other verbs are called μι-verbs because they have -μι instead of -ω as the ending of the first person singular present indicative active. They also lack the variable vowel in the present system,[2] except in the subjunctive, where ω and η are retained. In other tense systems[3] than the present and second aorist, μι-verbs are inflected the same as ω-verbs.

363. ἵστημι in the Present. Learn the inflection of ἵστημι in the present system in all three voices (§ 535). Note that α occurs in all forms of the middle and passive and in all forms of the active, except in the singular of the present and imperfect indicative and in the second person singular of the imperative. In these forms η occurs. In the third person plural of the present indicative active -άᾱσι = -ᾶσι. In the subjunctive α + ω = ω, α + η = η, α + ῃ = ῃ.

364. The present participle, ἱστάς, is inflected like παύσᾱς except that it has an accent on the ultima. Write out its inflection. Compare with paradigm (§ 514, *f*).

365. δύναμαι is inflected like ἵσταμαι.[4] Inflect it.

[1] Antisthenes, as quoted by Diogenes Laertius, VI. 12.

[2] By *system* is meant a group of forms using a common stem.

[3] There are a few unimportant exceptions.

[4] But subjunctive and optative have recessive accent, and ἐδύνω is more usual than ἐδύνασο.

366. VOCABULARY

δύναμαι, δυνήσομαι, δεδύνημαι, ἐδυνήθην: *be able.* DYNAMIC.

δύναμις, -εως, ἡ: *power, force* (often in military usage).

δυνατός, -ή, -όν: *powerful, able, capable.*

ἐπίσταμαι, ἐπιστήσομαι, ἠπιστήθην: *know, understand, know how.* EPISTEMOLOGY.

ἵστημι, στήσω, ἔστησα or ἔστην, ἕστηκα, ἕσταμαι, ἐστάθην: *stand, halt, place.* Cf. **σταθμός.** STATIC.

κέρδος, -ους, τό: *gain, profit, pay.*

οἷος, -ᾱ, -ον: *of which (what) sort;* when followed by **τε**, *of the sort that, able to.*

υἱός, -οῦ, ὁ: *son.*

367. EXERCISE

Translate:

1. οὐδ' ἂν δυναίμην περὶ τῆς εἰρήνης θαρρεῖν. 2. ἀλλ' οὔπω ἐπίστασθε εἰς οἷον ἀγῶνα ἔρχεσθε. 3. οὐχ οἷόν τ' ἐστιν ἡμῖν πᾶσαν τὴν δύναμιν ἐνταῦθα ἱστάναι. 4. ἔνθα δὴ φύλακες αὐτὸν ἵστασθαι ἐκέλευσαν. 5. ἐκεῖνος οὖν φοβεῖται μὴ ἄλλος εἰς τὴν ἀρχὴν καθ-ιστῆται σατράπης. 6. ἠπιστάμεθα δ' ἄρχειν[1] τε καὶ ἄρχεσθαι. 7. δύναμιν δ' ὡς οἷόν τε πλείστην ἤθροιζες. 8. ἐὰν δὲ τὴν φάλαγγα πρὸς τῷ ποταμῷ ἱστῇ, οὐκ ἔσται τοῖς πολεμίοις ὄπισθεν διώκειν. 9. ταῦτά γ' ἂν ἐπιστάμενος τούς τε φίλους ὠφελεῖν καὶ τοὺς πολεμίους κωλύειν δύναιτο.

368. FOND PARENTS

τὸν δὲ υἱὸν ἐν-τρυφῶντα (*making sport of*) τῇ μητρὶ καὶ δι' ἐκείνην αὐτῷ σκώπτων (*joking*) Θεμιστοκλῆς ἔφη αὐτὸν πλεῖστον τῶν Ἑλλήνων δύνασθαι· τοῖς μὲν γὰρ Ἕλλησιν ἐπι-τάττειν Ἀθηναίους, Ἀθηναίοις δὲ αὐτόν, αὐτῷ δὲ τὴν ἐκείνου μητέρα, τῇ μητρὶ δ' ἐκεῖνον.

Plutarch, *Themistocles*, XVIII. 4.

---

[1] The infinitive when dependent on certain verbs of *knowing*, but not in indirect discourse, means *how to (do)*. Compare French *savoir faire*.

369. A FISH IN THE HAND

ἁλιεύς (*fisherman*) ποτε μῑκρὸν ἰχθὺν ἔλαβεν. ὁ δὲ ἰχθὺς ἔλεγεν· Ὦ ἄνθρωπε, πάνυ μῑκρός εἰμι. νῦν οὖν ἀπό-λῡσόν με, μείζω δὲ γενόμενον τότε δὴ ἄγρευε. τοῦτο γάρ σοι ποιοῦντι πολὺ κέρδος ἔσται. ὁ δὲ ἁλιεὺς ἀπ-εκρίνατο· Ἀλλ' ἔγωγε εὐηθέστατος (*very foolish*) ἂν εἴην, εἰ τὸ παρ-ὸν κέρδος μὴ λαβὼν ἄ-δηλον ἐλπίδα διώκοιμι.

ὁ λόγος δηλοῖ (*makes plain*) ὅτι βέλτῑόν ἐστι κέρδος τὸ παρ-όν, κἂν μῑκρὸν ᾖ, τοῦ μὴ παρ-όντος.

Adapted from Æsop.

370. The fish became a symbol for the early Christians because of the meaning that they attached to the letters of the word ἰχθύς :[1]

Ἰ(ησοῦς) Jesus
Χ(ριστός) Christ
Θ(εοῦ) of God
Υ(ἱός) Son
Σ(ωτήρ) Saviour

However, the original thought may have been that Christ was the Great Fisher. In St. Matthew, IV. 19, He says to His disciples :

ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων.

[1] The illustration shows an ancient signet. Note the mistake in spelling.

LESSON LX

SECOND AORIST ACTIVE OF ἵστημι[1]

δός μοι ποῦ στῶ, καὶ κῑνῶ τὴν γῆν.
Give me where I may stand and I will move the earth.[2]

371. ἵστημι in the Second Aorist. (*a*) Learn the inflection of *ἵστημι* in the second aorist active (§ 535). Note that **α** occurs in all forms of the optative and of the participle, and in the third person plural of the imperative. **η** occurs in all other forms except where **ω** is normal in the subjunctive.

Note the general similarity, apart from stem (**στα-**, not **ἱστα-**), between the second aorist and the present active (except in the indicative plural, the imperative, and the infinitive).

(*b*) Inflect *στάς* (like *ἱστάς*).

(*c*) In like manner inflect the aorist of *βαίνω* (*ἔβην*).

372. Meanings of ἵστημι. Besides the normal meanings appropriate to that voice, the middle of *ἵστημι* in the intransitive usage frequently means *to stand*. The second aorist, perfect, and pluperfect active of this verb are always intransitive.

373. VOCABULARY

ἔπ-ειτα, adv.: *thereupon, next.* Cf. **εἶτα**.

ἴσως, adv.: *perhaps.*

ὅμως, adv.: *all the same, however.*

στέλλω, στελῶ, ἔστειλα, ἔσταλκα, ἔσταλμαι, ἐστάλην: *send.* APOSTOLIC, PERISTALTIC.

τοίνυν, post-pos. adv.: *then, therefore.*

[1] *ἵστημι* has no second aorist middle.

[2] Archimedes.

374. EXERCISES

(*a*) Translate:

1. ὅμως οὐδὲν ὑπ' ἐμοῦ ἀ-δικούμενος, ἀπο-στὰς εἰς τοὺς πολεμίους κακῶς ἐποίεις τὴν ἐμὴν χώρᾱν ὅ τι ἐδύνω. 2. τὰ δὲ ἄλλα ῥίψᾱς εἰς τὸ πῦρ ἀν-έβη τε τὸν ἵππον καὶ ἀπ-ήλαυνεν. 3. ἐγὼ οὖν φημι χρῆναι ὑμᾶς δια-βῆναι τὸν Εὐφρᾰ́την ποταμὸν πρὶν φανερὸν εἶναι ὅ τι οἱ ἄλλοι Ἕλληνες ἀπο-κρῑνοῦνται. 4. ἔπειτα στρέψᾱς ἀπ-έστειλεν ἄνδρας οἳ ἀνὰ τὰ ὄρη ἔδραμον ῥᾳδίως. 5. ἐφοβούμην δὲ μὴ οὐ τὸ πεδίον δια-βαίησαν δρόμῳ. 6. ἀλλ' ὅμως στήσᾱς τὸ ἅρμα ἐπυνθάνετο ποῦ εἶεν οἱ ἱππεῖς. 7. ἀπο-θανόντος τοίνυν τοῦ Δᾱρείου ὁ μὲν πρεσβύτερος εἰς τὴν ἀρχὴν κατ-έστη. 8. ἐὰν δὲ ἀπο-στῶ πρὸς αὐτόν, δῶρά μοι ἴσως πολλοῦ ἄξια πέμψει.

(*b*) Write in Greek:

1. If you are able to sell the wine, the profit is yours. 2. Your son might know how to aid the most capable. 3. The boy's mother is standing at the door. 4. The captain halts his men at the monument.

375. "O WAD SOME POWER"

Κώνωψ (*mosquito*) ἐπι-στὰς κέρατι ταύρου (*bull*) καὶ πολὺν χρόνον δια-μεινᾱς, ἐπεὶδὴ ἀπ-αλλάττεσθαι ἔμελλεν, ἐπυνθάνετο τοῦ ταύρου, εἰ ἤδη βούλεται αὐτὸν ἀπ-ελθεῖν. ὁ δὲ ἀπ-εκρίνατο· Ἀλλ' οὔθ' ὅτε ἦλθες ἠσθόμην, οὔτ' ἐὰν ἀπ-έλθῃς γνώσομαι.

τούτῳ τῷ λόγῳ δύναιτο ἄν τις τὸν ἀ-δύνατον διδάσκειν ὅτι οὔτε παρ-ὼν οὔτ' ἀπ-ὼν οὔτ' ὠφέλιμός ἐστιν οὔτ' αὖ βλαβερός (*harmful*).

Adapted from Æsop, 235.

376. Word-formation. (*a*) Nouns in **-σιᾱ** express an *abstract* idea of *action*. Many such words have passed directly into English :

αἰσθάνομαι *perceive*, ἀναισθησίᾱ ANESTHESIA.

(*b*) Nouns in **-ιᾱ** express *quality*. Many such words have passed into English with **-ιᾱ** changed to *y* :

φιλάνθρωπος *fond of man*, φιλανθρωπίᾱ PHILANTHROPY;
πολύγαμος *much-married*, πολυγαμίᾱ POLYGAMY.

THE FOUNTAIN OF ARETHUSA

No relic of Syracusan splendor is better known than Arethusa, whose waters sparkle still as in the days of Archimedes.

LESSON LXI

φημί. INDIRECT DISCOURSE

αὐτὸς ἔφᾱ. — Ipse dixit.[1]

377. φημί in the Present. Learn the inflection of *φημί* in the present system (§ 536). Note the general similarity to *ἵστημι*; and, also, that like *εἰμί* (§ 93) the present indicative, with the exception of the second person singular, is enclitic. Instead of the participle *φάς*, Attic prose uses *φάσκων*.

378. Indirect Discourse. (*a*) Review the principles already studied for the various constructions that follow words of *saying*, *thinking*, *telling*, *knowing*, and *perceiving* (§§ 211–217).

(*b*) In complex sentences the main verbs undergo the same changes as in simple sentences. The subordinate verbs are either in the same mood and tense as in the original form, or, after secondary tenses, they may be changed to the same tense of the optative, *ἐάν* also changing to *εἰ*:

DIRECT	INDIRECT	
ἐὰν ἔλθῃ, μαχεῖται if he comes, he will fight.	λέγουσιν ὅτι ἐὰν ἔλθῃ, μαχεῖται.	φασὶν ἐὰν ἔλθῃ, αὐτὸν μαχεῖσθαι.
	ἔλεξαν ὅτι ἐὰν ἔλθῃ, μαχεῖται or εἰ ἔλθοι, μαχοῖτο.	ἔφασαν ἐὰν ἔλθῃ, αὐτὸν μαχεῖσθαι or, εἰ ἔλθοι, αὐτὸν μαχεῖσθαι.

[1] Said of the Great Master, Pythagoras, as quoted by Diogenes Laertius VIII. 46. ἔφᾱ is dialectic for ἔφη.

(*c*) Past tenses of the indicative, however, remain unchanged in subordinate clauses:

DIRECT	INDIRECT	
εἰ ἦλθεν, ἐμαχέσατο ἄν *if he had come, he would have fought.*	λέγουσιν (or ἔλεξαν) ὅτι εἰ ἦλθεν, ἐμαχέσατο ἄν.	φασίν (or ἔφασαν), εἰ ἦλθεν, αὐτὸν ἂν μαχέσασθαι.

379. VOCABULARY

βοῦς, βοός,[1] ὁ or ἡ: *ox, cow.*
ἐν-νοέω, -ήσω, -ησα: *have in mind, consider, conceive.*
νοῦς, νοῦ, ὁ: *mind*; ἐν νῷ ἔχω: *intend*; τὸν νοῦν προσ-έχω: *attend*, i.e., *pay heed.*
ὅλος, -η, -ον: *whole, all.* HOLOGRAPH, HOLOCAUST.
οὐκ-οῦν, adv.: *therefore.*
παίω, παίσω, ἔπαισα, πέπαικα: *strike.* ANAPÆST.
φημί, φήσω, ἔφησα: *say.*
ψευδής, -ές: *false.* PSEUDONYM, PSEUDOSCIENTIFIC.
ψεύδω, ψεύσω, ἔψευσα, ἔψευσμαι ἐψεύσθην: *deceive*; mid., *lie.*

380. EXERCISES

(*a*) What clues are given by the portions in heavy type?

φα ίη	**φά τω**	**φά ναι**	**φα μέν**
ἔ φαμεν	**ἔ φη σε**	**φή σει**	**φ ῶ σι**

(*b*) Translate:

1. τί ἐν νῷ ἔχετε περὶ τῆς εἰρήνης; 2. ταῦτ᾽ οὖν ἐν-νοήσᾱς ὅλην τὴν νύκτα τὰς βοῦς ἐφύλαττον. 3. ὑπ-ῑσχνεῖτο δ᾽ αὐτῷ, εἰ ἔλθοι, φίλον αὐτὸν Κύρῳ ποιήσειν, ὃν αὐτὸς ἔφη κρείττω ἑαυτῷ νομίζειν τῆς πατρίδος. 4. τὸν δὲ ψευδῆ ἀγγείλαντα ἐπαίσαμεν, ἵνα μηκέτι ψεύδοιτο. 5. οὐκ-οῦν ἀκούω τὰς τάφρους οὐ πλέον εἴκοσι σταδίων ἀπ-εχούσᾱς. 6. πότε ἔλεγον ὅτι οὐ δύναιτο τὰς ἑκατὸν βοῦς πωλεῖν; 7. οὐ μέντοι γε θαυμάζουσιν εἰ ψευδὴς ἦν ὁ Θρᾷξ. 8. ποῦ ταύτην φασὶν ὑπὸ τῶν βαρβάρων ταφῆναι; 9. τὸ ὅλον μεῖζον τοῦ μέρους ἐστίν.

[1] For inflection, see § 509, *g*.

(*c*) Write in Greek:

1. The women ran to the gate of the city (and) stood there. 2. Thereupon the heavy-armed soldiers crossed the plain on (the) run. 3. However, they did not yet know that the general was halting his men. 4. Do not halt unless you learn that we are safe.

381. Long before the traditional date of the founding of Rome, the Greeks were exploring and colonizing in the western Mediterranean. They secured so firm a grip upon southern Italy that that region came to be called *Magna Graecia*. The practical spirit of their Italian neighbors welcomed more readily the business methods and devices of the Greeks than their philosophy. But Greek gods found their way to Rome, and majestic Greek temples, like those still standing at Pæstum, gradually developed in Italy an appreciation of Greek art.

382. ATTIC SALT

εἰ δέ τις ὑμῶν ἀ-θῡμεῖ (compare **πρό-θῡμος**) *ὅτι ἡμῖν μὲν οὐκ εἰσὶν ἱππεῖς, τοῖς δὲ πολεμίοις πολλοὶ πάρ-εισιν, ἐν-νοεῖτε ὅτι οἱ μύριοι ἱππεῖς οὐδὲν ἄλλο ἢ μύριοί εἰσιν ἄνθρωποι· ὑπὸ μὲν γὰρ ἵππου ἐν μάχῃ οὐδεὶς πώποτε οὔτε δηχθεὶς (*bitten*) οὔτε λακτισθεὶς (*kicked*) ἀπ-έθανεν, οἱ δὲ ἄνδρες εἰσὶν οἱ ποιοῦντες ὅ τι ἂν ἐν ταῖς μάχαις γίγνηται. οὐκοῦν τῶν ἱππέων πολὺ ἡμεῖς ἐπ' ἀσφαλεστέρου ὀχήματός (*support*) ἐσμεν· οἱ μὲν γὰρ ἐφ' ἵππων κρέμανται (*hang*) φοβούμενοι οὐκ ἡμᾶς μόνον ἀλλὰ καὶ τὸ κατα-πεσεῖν· ἡμεῖς δ' ἐπὶ γῆς βεβηκότες πολὺ μὲν ἰσχῡρότερον παίσομεν, ἐάν τις προσ-έλθῃ. ἐνὶ δὲ μόνῳ προ-έχουσιν οἱ ἱππεῖς ἡμᾶς φεύγειν αὐτοῖς ἀσφαλέστερόν ἐστιν ἢ ἡμῖν.*

Xenophon, *Anabasis*, III. 2. 18–19.

383. Word-formation. Nouns in **-μος** express some *abstract* idea of *action: διώκω pursue, διωγμός pursuit.* Added to stems of verbs in *-ιζω*, this ending gives nouns like Ἑλληνισμός HELLENISM (from ἑλληνίζω HELLENIZE). By analogy we have the many English words in *-ism* and *-ist* which have no other relation to Greek. To this type belong *Bolshevism, Bolshevist; Anglicism; purism, purist; rationalize, rationalism, rationalist.*

GREEK TEMPLES AT PÆSTUM

The Temple of Poseidon, in the left foreground, is one of the most impressive remains of Greek architecture in all Italy. It dates from the best period of Doric style. The town of Pæstum has vanished, but the temples attract visitors by the thousands.

LESSON LXII

PRESENT OF τίθημι AND ἵημι

μηδὲν ἄγαν. — Nothing too much.[1]

384. τίθημι in the Present. Learn the inflection of *τίθημι* in the present system of all three voices (§ 535). Note that **ε** occurs in all forms of the middle and passive voice and in all forms of the active, except in the singular of the present and imperfect indicative and in the second person singular of the imperative, where *ἵστημι* was likewise exceptional. The third person plural present indicative active **-έᾱσι** does not contract as in *ἵστημι*. In the subjunctive **ε** is absorbed (§ 127). The optative of the active voice has alternative forms that are like the forms of *φιλέω* (§ 534). In the active participle **ε** lengthens to **ει**.

385. ἵημι in the Present. (*a*) *ἵημι* in the present system is like *τίθημι*, except that it has an alternative form, *ἱεῖς*, in the second person singular present indicative active, contracts **-έᾱσι** to **-ᾶσι** in the third person plural of the same tense, and lacks the alternative forms in the optative of the active.

(*b*) Write the inflection of *ἵημι* in the present system. Compare with paradigm (§ 537).

386. The participles τιθείς and ἱείς are inflected like *παυθείς* (§ 514, *e*). Write out the inflection of *τιθείς*.

[1] Solon, as quoted by Diogenes Laertius, I. 63, and also said to have been inscribed on the temple of Apollo at Delphi.

387. VOCABULARY

ἅμα, adv.: *together with, at the same time as.* Cf. ἁμ-αξα.
HAMADRYAD.

ἅ-παξ, adv.: *altogether, once for all.* Cf. ἅ-πᾶς.

εἶδον,[1] 2d. aor.: *saw.*

ἕνεκα, post-pos. prep. with G.: *on account of, for the sake of, for.*

ἵ-ημι, ἥσω, ἧκα, εἷκα, εἷμαι, εἵθην: *send, throw;* mid., *rush.*

ξύλον, -ου, τό: *wood.*
XYLOPHONE.

τί-θημι, θήσω, ἔθηκα, τέθηκα, τέθειμαι, ἐτέθην: *put, place.* Frequently in compounds.
ANTITHESIS.

τοιοῦτος, τοιαύτη, τοιοῦτο: *of such sort.*

τοσοῦτος, τοσαύτη, τοσοῦτο: *of such size* or *quantity.*

388. EXERCISES

(*a*) Translate:

1. ἤδη ἵεντο ὥσπερ ἂν δράμοι τις τοῦ σώματος ἕνεκα. 2. τῶν δὲ Μένωνος στρατιωτῶν τις ξύλα σχίζων (compare SCHISM) ὡς εἶδε Κλέαρχον δι-ελαύνοντα, ἵησι τῇ ἀξίνῃ[2] (*ax*). 3. ἀλλ' ἅμα ἰδὼν τὸν ἀδελφὸν ἵετο ἐπ' αὐτόν. 4. φοβούμεθα γὰρ μὴ ἅμα τῇ ἡμέρᾳ ἡμῖν ἐπι-τιθῶνται. 5. οὐδεὶς τῶν Ἀθηναίων τοιαύτην σοφίᾱν εἶχεν οἵᾱν Σωκράτης. 6. τὰ δὲ ὅπλα εἰς τὰ πλοῖα τιθέᾱσιν. 7. ἔφασαν τοίνυν αὐτοὺς τὰ ὅπλα εἰς τὰ πλοῖα τιθέναι. 8. τούτου ἕνεκα ἀφ-ἱᾶσι τοὺς ἵππους. 9. ἐπειδὰν δὲ ἅπαξ τοσαύτην πόλιν λάβωμεν, οὐ δεήσει ἀνδρῶν ἕνεκα δεδοικέναι.

(*b*) Write in Greek:

1. If they had said they desired peace, they would have lied. 2. He inquired what they intended to do with regard to the falsehoods. 3. The woman said that the man struck her son many (blows). 4. They promised him (that) if he should come they would make him king.

---

[1] Defective verb, other tenses being supplied by other verbs.

[2] **Dative of means**, instead of accusative. This is also commonly used with βάλλω.

389. NOT ALL DEAD YET

ὁ δὲ ἀδολέσχης (*garrulous*) τοιοῦτός ἐστιν οἷος, ὃν μὴ γιγνώσκει, τούτῳ παρα-καθ-εζόμενος (*sit beside*) ἐγγὺς πρῶτον μὲν τῆς ἑαυτοῦ γυναικὸς εἰπεῖν ἐγκώμιον (what does the sound suggest?). εἶτα ὃ τῆς νυκτὸς εἶδεν ἐν-ύπνιον (compare HYPNOTIC), τοῦτο δι-ηγήσασθαι (*narrate*). εἶθ' ὧν εἶχεν ἐπὶ τῷ δείπνῳ (*dinner*) ἕκαστα δι-εξ-ελθεῖν· εἶτα δὲ προ-βαίνοντος τοῦ πράγματος λέγειν, ὡς πολὺ χείρονές εἰσιν οἱ νῦν ἄνθρωποι τῶν ἀρχαίων· καὶ ὡς ἄξιος (*good value*, that is, *cheap*) γέγονεν ὁ σῖτος ἐν τῇ ἀγορᾷ· καὶ ὡς πολλοὶ ἐπι-δημοῦσι (*be in town*) ξένοι· καὶ εἰ ποιήσειεν ὁ Ζεὺς ὕδωρ πλεῖον, τὰ ἐν τῇ γῇ βελτίω ἔσεσθαι· καὶ ὡς χαλεπόν ἐστι τὸ ζῆν (*life*)· καὶ ἐὰν ὑπομένῃ (*endures*) τις αὐτόν, οὐδέποτε ἀπο-στήσεται.



Ζεύς

Zeus was the supreme god of the universe.

Theophrastus, *Characters*, III.

390. Word-formation. Reference has already been made (§ 210) to certain ways in which Greek technical terms originated. Frequently the word as then used still applies. The Greeks would understand us if they heard us speak of *arithmetic*, *ethics*, *dialectics*, *oligarchy*.

Sometimes, however, the idea has changed, while the word has remained the same. Reference has been made to *scene* (§ 35) and *orchestra* (§ 163). *Economy* to the Greek was restricted to the house but to-day covers a very wide range of management.

ἐπ-ιόντες ἔθεον δρόμῳ ἐπὶ τοὺς ἀεὶ βοῶντας (compare **βοή**) *καὶ πολλῷ μείζων ἐγίγνετο ἡ βοὴ ὅσῳ δὴ πλείους ἐγίγνοντο, ἐδόκει δὴ μεῖζόν τι εἶναι τῷ Ξενοφῶντι· καὶ ἀνα-βὰς ἐφ' ἵππου καὶ τοὺς ἱππέας ἀνα-λαβὼν παρ-εβοήθει· καὶ τάχα δὴ ἀκούουσι βοώντων τῶν στρατιωτῶν Θ ά λ α τ τ α θ ά λ α τ τ α. ἔνθα δὴ ἔθεον πάντες καὶ οἱ ὀπισθο-φύλακες, καὶ τὰ ὑπο-ζύγια* (*pack animals*) *ἠλαύνετο καὶ οἱ ἵπποι.*

Adapted from Xenophon, *Anabasis*, IV. 7. 15–24.

466. SHADOW OR SUBSTANCE[1]

νεᾱνίᾱς (*youth*) *ὄνον* (*ass*) *μισθωσάμενος* (compare **μισθός**), *ἐπεὶ ὁ ἥλιος θερμὸς ἐγένετο, ἠξίωσεν ὑπὸ τῇ τοῦ ὄνου σκιᾷ* (*shade*) *κατα-κεῖσθαι. ὁ μὲν οὖν μισθώσᾱς ἐκώλῡεν αὐτόν, λέγων ὅτι τὸν μὲν ὄνον μισθώσειε, τὴν δὲ σκιὰν οὔ. ὁ δ' εἶπεν ὅτι τὸν ὄνον μισθωσάμενος μισθώσαιτο καὶ τὴν σκιάν. ἐν τούτῳ μαχομένους αὐτοὺς κατ-έλιπεν ὁ ὄνος.*

Adapted from Æsop, 339.

467. Word-formation. (*a*) Verbs formed by adding **-οω** to noun (or adjective) stems denote action of a nature similar to that expressed by the noun (or adjective). They are usually *causative:*

δοῦλος *slave*, **δουλόω** *enslave;*
δῆλος *clear*, **δηλόω** *make clear.*

In like manner, form verbs from ζῆλος *emulation*, *μάστιξ*, *-ῑγος whip.*

(*b*) From verbs in **-οω** come nouns in **-ωσις**:

νεκρός dead body, *νεκρόω make dead*, *νέκρωσις deadness*, NECROSIS;

From such nouns in turn have come the numerous medical terms in *osis*: *arterio-sclerosis*, *neurosis*, *psychosis*, etc. (§ 280).

[1] This fable is said to have been used by Demosthenes with telling effect upon an inattentive jury.

LESSON LXXIV

SUMMARY OF PARTICIPIAL FORMS AND USES

πρὸς κέντρα μὴ λάκτιζε. — Kick not against the pricks.[1]

468. Forms of Participles. Review all participial forms (§ 545, *f*). Note that the stem is that of the corresponding tense of the indicative, and that the clues to most participles and their tenses are:

-οντ-, -ουσ- (present, future, or second aorist active);
-αντ-, -ᾱσ- (first aorist active);[2]
-οτ-, -υι- (perfect active);
-ομεν- (present or future middle or passive, second aorist middle);
-αμεν- (first aorist middle);
-μεν- *without connecting vowel* (perfect middle or passive);
-εντ-, -εισ- (aorist passive).[3]

469. Uses of Participles. Having clearly in mind the clues that indicate a participle, review the possible uses of the participle (§ 545, *f*). Fix clearly the difference in meaning conveyed by the tenses, especially the present and aorist (§ 546, *a* and *c*).

---

[1] Æschylus, *Agamemnon*, 1624. Literally: *Kick not against the goads.* Compare The Acts of the Apostles, XXVI. 14.

[2] Also present of ἵστημι.

[3] Also present and aorist active of τίθημι and ἵημι.

470. VOCABULARY

ἁμαρτάνω, ἁμαρτήσομαι, ἥμαρτον, ἡμάρτηκα, ἡμάρτημαι, ἡμαρτήθην : *miss*, with G.; *err.*

θώρᾱξ, -ᾱκος, ὁ : *breastplate, corselet, cuirass.* THORAX, THORACIC.

λανθάνω, λήσω, ἔλαθον, λέληθα, λέλησμαι : *escape notice, elude; do secretly*, with suppl. part. LETHE.

πεζός, -ή, -όν : *afoot;* ὁ πεζός : *infantryman.*

τι-τρώσκω, τρώσω, ἔτρωσα, τέτρωμαι, ἐτρώθην : *wound.* TRAUMA.

φθάνω, φθήσομαι, ἔφθασα : *outstrip, beat, anticipate.* Usually with suppl. part.[1]

471. A GRUMBLER SHAMED

Καὶ ἐνταῦθα πολλὴ μὲν κραυγὴ ἦν τοῦ Ἑλληνικοῦ στρατεύματος δια-κελευομένων τοῖς ἑαυτῶν, πολλὴ δὲ κραυγὴ τῶν

ATALANTA'S RACE

Atalanta outran every youth with whom she raced. Finally she was vanquished by Hippomenes. He threw at her feet a golden apple, which she stopped to pick up.

ἀμφὶ Τισσαφέρνην τοῖς ἑαυτῶν δια-κελευομένων. Ξενοφῶν δὲ παρ-ελαύνων ἐπὶ τοῦ ἵππου παρ-εκελεύετο· Ἄνδρες, νῦν ἐπὶ τὴν Ἑλλάδα νομίζετε ἁμιλλᾶσθαι (*race*), νῦν πρὸς τοὺς παῖδας καὶ τὰς γυναῖκας, νῦν ὀλίγον πονήσαντες ἀ-μαχεὶ (adverb) τὴν λοιπὴν[2] πορευσόμεθα. Σωτηρίδας δὲ ὁ Σικυώνιος εἶπεν· Οὐκ ἐξ ἴσου, ὦ Ξενοφῶν, ἐσμέν· σὺ μὲν γὰρ

[1] § 393, *b*. [2] Supply ὁδόν

ἐφ' ἵππου ἐλαύνεις, ἐγὼ δὲ χαλεπῶς πονῶ τὴν ἀσπίδα φέρων. ὁ δὲ ἀκούσᾱς ταῦτα κατα-πηδήσᾱς ἀπὸ τοῦ ἵππου ὠθεῖται (*pushes*) αὐτὸν ἐκ τῆς τάξεως καὶ τὴν ἀσπίδα ἀφ-ελόμενος ὡς ἐδύνατο τάχιστα ἔχων ἐπορεύετο· ἐτύγχανε δὲ καὶ θώρᾱκα ἔχων τὸν ἱππικόν· ὥστε ἐπιέζετο (*was burdened*). καὶ τοῖς μὲν ἔμ-προσθεν (ἐν + πρόσθεν) σπεύδειν παρ-εκελεύετο, τοῖς δὲ ὄπισθεν παρ-ιέναι, μόλις (*with difficulty*) ἑπόμενος. οἱ δ' ἄλλοι στρατιῶται παίουσι καὶ βάλλουσι καὶ λοιδοροῦσι (*taunt*) Σωτηρίδᾱν μέχρι ἠνάγκασαν αὐτὸν λαβόντα τὴν ἀσπίδα πορεύεσθαι. ὁ δὲ ἀνα-βὰς, ἕως μὲν οἷόν τ' ἦν, ἐπὶ τοῦ ἵππου ἦγεν, ἐπεὶ δὲ οὐκέτι οἷόν τ' ἦν, κατα-λιπὼν τὸν ἵππον ἕσπευδε πεζῇ. καὶ φθάνουσιν ἐπὶ τῷ ἄκρῳ γενόμενοι τοὺς πολεμίους.

Xenophon, *Anabasis*, III. 4. 45–49.

472. EXERCISE

Write in Greek:

1. A certain infantryman came away secretly. 2. While arming themselves they learned that their commander was wounded. 3. Although few had perished, the general was perplexed. 4. Already the wounded happen to be many. 5. He stopped drinking when his friends appeared.

LESSON LXXV

SUMMARY OF INFINITIVE FORMS AND USES

οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος.
There is no shrine of Persuasion save only speech.[1]

473. Forms of the Infinitive. Review all infinitive forms (§ 545, *e*). Note that the stem is that of the corresponding tense of the indicative, and that the clues to most infinitives and their tenses are:

-ειν (present, future, or second aorist active);
-σαι or *stem liquid* + **αι** (first aorist active);
-έναι (perfect active);[2]
-εσθαι (present or future middle or passive, or second aorist middle);
-ασθαι (first aorist middle);
-σθαι *without connecting vowel* and *with accents on penult* (perfect middle or passive);
-ῆναι (aorist passive).

474. Uses of the Infinitive. Having clearly in mind the clues that indicate an infinitive, review the possible uses of the infinitive (§ 545, *e*). Note that in some of its uses the infinitive is a *noun*, in others a *verb*, in still others it *merges noun and verb* functions. Fix clearly the difference in meaning conveyed by the tenses, especially the present and aorist, both in indirect discourse and elsewhere (§ 546, *a* and *c*).

[1] Euripides, *Antigone*. Quoted by Aristophanes, *Frogs*, 1391.
[2] Also present active of **τίθημι** and **ἵημι**.

475. VOCABULARY

βασίλειος, -α, -ον: *royal*; *τὰ βασίλεια*: *palace*. BASILICA.
κύκλος, -ου, ὁ: *circle*. CYCLE.
λόγχη, -ης, ἡ: *spear point, spear*.
λόφος, -ου, ὁ: *hill, crest, plume*.
ὄρθιος, -ᾱ, -ον: *straight up and down, steep*. Cf. **ὀρθός**.
πελταστής, -οῦ, ὁ: *peltast*, a light-armed soldier.
ὠνέομαι, ὠνήσομαι, ἐπριάμην: *buy*.

κύκλος Μυκηναῖος

This grave circle is on the acropolis of Mycenæ. Within it were discovered the graves of seventeen lords of the city and a sufficient wealth of treasure to justify the Homeric epithet "golden."

476. EXERCISES

(*a*) Translate:

1. *τοὺς δὲ ἐναντίους ἐπειρῶντο φθάνειν τὰ ἅρματα ζεύξαντες.* 2. *καὶ ὑμεῖς αἴτιοι ἔσεσθε τοῦ τὰ βασίλεια διαρπάζειν.* 3. *ἀλλ᾽ οὐκ ἔσται τὸν λόφον κτᾶσθαι, ἐὰν μὴ πελταστὰς περὶ τὸ ἄκρον κύκλῳ ἱστῆτε.* 4. *καὶ ὅσᾱς ἔλαβον κώμᾱς πάσᾱς ηὕρισκον μεστὰς οὔσᾱς σίτου καὶ οἴνου,*

ὥστε μὴ δεῖν τὰ ἐπιτήδεια ὠνεῖσθαι. 5. *πρὶν μέντοι εἰς τὴν μάχην ἰέναι, πάντες οἱ Πέρσαι ὁπλίζονται θώραξι καὶ ἀσπίσι καὶ λόγχαις.* 6. *ὁ δὲ λόφος κύκλῳ ἐστὶ πάνυ ὄρθιος, ὥστε οὐκ ἔστι τοῖς ἵπποις χρῆσθαι.* 7. *ἐκέλευσε γὰρ τοὺς Ἕλληνας θέσθαι τὰ ὅπλα.* 8. *τότε δὴ πρὶν πορευθῆναι πλέον ἢ τρεῖς παρασάγγᾱς, τοὺς ἱππέᾱς ἦν ὁρᾶν.* 9. *βέλτιστον εἶναι ἔφασαν τὰς λόγχᾱς ῥῖψαι εἰς τὸν λιμένα.*

(*b*) Write in Greek:

1. His opponents prevent him from reaching the palace. 2. The captain will order the peltasts to keep throwing their javelins. 3. The hill was full of men before the Greeks began to attack. 4. No one is so wise that he knows everything. 5. Would that the hill were not so steep.

477. "HEADS, I WIN; TAILS, YOU LOSE"

τί οὖν κελεύω ποιῆσαι; νῦν δεῖται Κῦρος ἕπεσθαι τοὺς Ἕλληνας ἐπὶ βασιλέᾱ· ἐγὼ οὖν φημι ὑμᾶς χρῆναι διαβῆναι τὸν Εὐφρᾱ́την ποταμὸν πρὶν δῆλον εἶναι ὅ τι οἱ ἄλλοι Ἕλληνες ἀπο-κρῑνοῦνται Κύρῳ. ἢν μὲν γὰρ αὐτοῖς δόξῃ ἕπεσθαι, ὑμεῖς δόξετε αἴτιοι εἶναι ἄρξαντες τοῦ δια-βαίνειν, ἢν δὲ μὴ ταῦτα ἕλωνται οἱ ἄλλοι, ἄπ-ιμεν μὲν ἅπαντες πάλιν καὶ οὔτινος ἂν δέησθε οἶδα ὅτι ὡς φίλοι τεύξεσθε Κύρου.

Xenophon, *Anabasis*, I. 4. 14–15.

478. THE MARRIAGE MARKET

κατὰ κώμᾱς ἑκάστᾱς ἅπαξ τοῦ ἔτους ἑκάστου ἐποιεῖτο τάδε· ὅσαι παρθένοι (*maidens*) *γίγνοιντο γάμων* (compare POLYGAMY) *ὡραῖαι* (*ripe*), *ταύτᾱς πάσᾱς εἰς ἓν χωρίον εἰσ-ἤγον, πέριξ* (*around*) *δὲ αὐτὰς ἵσταντο πολλοὶ ἄνδρες. ἀν-ιστὰς δὲ κατὰ μίαν ἑκάστην κῆρυξ ἐπώλει, πρῶτα μὲν καλλίστην ἐκ πᾶσῶν, μετὰ* (adverb) *δέ, ὅτε αὕτη εὑροῦσα πολὺ χρῡσίον*

πραθείη[1], ἄλλην ἀν-εκήρυσσε (compare κῆρυξ) ἣ μετ' ἐκείνην ἦν καλλίστη. ὅσοι μὲν δὴ ἦσαν εὐδαίμονες τῶν Βαβυλωνίων ἐπί-γαμοι (*marriageable*), οὗτοι ὑπερ-βάλλοντες ἀλλήλους ἐξ-ωνοῦντο τὰς καλλίστας· ὅσοι δὲ τοῦ δήμου (*common people*) ἦσαν ἐπί-γαμοι, οὗτοι χρήματά τε καὶ αἰσχίονας παρθένους ἐλάμβανον. ὡς γὰρ δὴ δι-εξ-έλθοι ὁ κῆρυξ πωλῶν τὰς καλλίστας τῶν παρθένων, ἀν-ίστη τὴν ἀ-μορφεστάτην (compare AMORPHOUS) ἤ ἔμπηρόν (*cripple*) τινα, καὶ ταύτην ἀν-εκήρυσσε· ὅσ-τις δ' ἐθέλοι ἐλάχιστον χρῦσίον λαβὼν συν-οικεῖν αὐτῇ, τούτῳ προσ-έκειτο ἡ παρθένος· τὸ δὲ χρῦσίον ἐγίγνετο ἀπὸ τῶν καλῶν παρθένων, καὶ οὕτω αἱ εὖ-μορφοι τὰς ἀ-μόρφους καὶ ἐμπήρους ἐξ-εδίδοσαν· ἐκ-δοῦναι δὲ τὴν ἑαυτοῦ θυγατέρα (*daughter*) ᾧ τινι βούλοιτο ἕκαστος οὐκ ἐξ-ἦν. Herodotus, I. 196.

THE PNYX

From the speaker's stand seen in this picture, Pericles, Demosthenes, and other great statesmen addressed the Athenians on matters of public policy.

[1] Used as aorist passive of πωλέω.

LESSON LXXVI

SUMMARY OF SUBJUNCTIVE FORMS AND USES

ἃ δ' ἂν μάθῃ παῖς, ταῦτα σῴζεσθαι φιλεῖ πρὸς γῆρας.
What you learn as a boy, you will likely keep to old age.[1]

479. Forms of the Subjunctive. Review all subjunctive forms. Note that the stem is that of the corresponding tense of the indicative and that ω or η occurs in all its forms (except in *-aω* and *-oω* verbs).

480. Uses of the Subjunctive. Having clearly in mind the clues that indicate a subjunctive, review the possible uses of the subjunctive (§ 545, *b*). The subjunctive is essentially *hortatory* or *jussive*, and from these ideas almost all its uses are derived. Note the implication of vividness suggested by the subjunctive in a purpose clause or a clause of fear after a past tense. Fix clearly the difference in meaning conveyed by the present and aorist tenses (§ 546, *a* and *c*).

481. VOCABULARY

ἀθρόος, -ᾱ, -ον: *together, in a body.* Cf. **ἀθροίζω.**

ἀπο-στερέω, -στερήσω, -εστέρησα, -εστέρηκα, -εστέρημαι, -εστερήθην: *deprive, withhold.*

θόρυβος, -ου, ὁ: *noise, din, outcry.*

καίω (καίω), καύσω, ἔκαυσα, κέκαυκα, κέκαυμαι, ἐκαύθην: *burn.* CAUSTIC.

πολιορκέω, πολιορκήσω, ἐπολιόρκησα, πεπολιόρκηκα, πεπολιόρκημαι, ἐπολιορκήθην: *besiege.* Cf. **πόλις.**

τῑμωρέω, τῑμωρήσω, ἐτῑμώρησα, τετῑμώρηκα, τετῑμώρημαι, ἐτῑμωρήθην: *avenge;* mid., *exact vengeance, punish.*

[1] Euripides, *Supplices*, 916–917.

482. EXERCISES

(*a*) Translate:

1. *καύσωμεν οὖν τὰς ἁμάξᾱς καὶ τὰ ἐπιτήδεια, ὅσων ἂν μὴ δεώμεθα.* 2. *μὴ ἀπο-στερήσῃς ἡμᾶς φίλους ὄντας τὴν ἡμετέρᾱν ἐλευθερίᾱν.* 3. *ἀθρόοι ἴωμεν ὄρθιοι ἐπὶ τοὺς πελταστάς;* 4. *φοβοῦνται ἄρα μὴ πολιορκηθῇ ἡ ἑαυτῶν πόλις.* 5. *ἐὰν δὲ θόρυβον ἱστῆτε, παρ-όντας ὑμᾶς πεύσονται.* 6. *ὅστις ἂν ἑκὼν Κῦρον κακῶς ποιῇ, τῑμωρεῖσθαι πειρᾶται.* 7. *ἐὰν δὲ πρὸς ὕδωρ ἢ σῖτον ἀφ-ικνεῖσθαι βούληται, ὡς τάχιστα πορεύεται.* 8. *ταῦτα τοίνυν λέγω, ἵνα μὴ ἀναγκασθῆτε τὸν ἄνδρα τὸ λοιπὸν φυλάττειν.* 9. *μὴ νομίσητε ἐμὲ στρατηγεῖν, ἐὰν μὴ ὑμεῖς Κύρῳ ἕπεσθαι ἐθέλητε.*

(*b*) Write in Greek:

1. Let us no longer besiege the city, if the commander does not give us our pay. 2. They (always) punish whoever speaks ill of Cyrus. 3. The women fear that there may be some noise. 4. The friends of the dead men will burn the village in order to exact vengeance. 5. What am I to say to the queen?

483. A FRIEND IN NEED

φίλη Πειθοῖ, παρ-οῦσα σύμμαχος
πόει (ποίει) κατ-ορθοῦν (to prosper) τοὺς λόγους, οὓς ἂν λέγω.

Menander, fragment.

484. THE BEAM THAT IS IN THINE OWN EYE

ὅταν τι μέλλῃς τὸν πέλας (neighbor) κακ-ηγορεῖν (malign), αὐτὸς τὰ σαυτοῦ πρῶτον ἐπι-σκέπτου κακά.

Menander, fragment.

κατάλογος ἐφήβων

This monument records the athletic and literary victories of two ephebic companies or clubs for a single year. It gives the names of the members, their officers, and the events for which each was "crowned."

485. THE OATH OF THE EPHEBI[1]

οὐ κατ-αισχυνῶ (*disgrace*) ὅπλα τὰ ἱερά, οὐδὲ ἐγ-καταλείψω τὸν παρα-στάτην (compare ἵστημι), ὅτῳ ἂν στοιχήσω (*stand beside in battle*), ἀμυνῶ (*defend*) δὲ καὶ ὑπὲρ ἱερῶν, καὶ ὑπὲρ ὁσίων (*holy places*), καὶ μόνος καὶ μετὰ πολλῶν, τὴν πατρίδα δὲ οὐκ ἐλάσσω παρα-δώσω, πλείω δὲ καὶ ἀρείω[2] ὅσην ἂν παρα-δέξωμαι. καὶ εὐ-ηκοήσω (*obey*) τῶν ἀεὶ κρῑνόντων καὶ τοῖς θεσμοῖς (*laws*) τοῖς ἱδρῡμένοις (*established*) πείσομαι καὶ οὔστινας ἂν ἄλλους τὸ πλῆθος[3] ἱδρύσηται· καὶ ἐάν τις ἀν-αιρῇ (*annul*) τοὺς θεσμούς, ἢ μὴ πείθηται, οὐκ ἐπι-τρέψω (*allow*), ἀμυνῶ δὲ καὶ μόνος καὶ μετὰ πάντων· καὶ ἱερὰ τὰ πάτρια (*the religion of my fathers*) τῑμήσω· Ἴστορες (*witnesses*) θεοὶ τούτων.

Stobæus, *Florilegium*, 43, 48.

486. THE FORGIVING SPIRIT

ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, ἐπι-τίμησον (*rebuke*) αὐτῷ. καὶ ἐὰν μετα-νοήσῃ (*repent*), ἄφ-ες αὐτῷ· καὶ ἐὰν ἑπτά-κις τῆς ἡμέρας ἁμαρτήσῃ εἰς σὲ καὶ ἑπτά-κις ἐπι-στρέψῃ πρὸς σὲ λέγων, Μετα-νοῶ, ἀφ-ήσεις αὐτῷ.

St. Luke, XVII. 3–4.

487. Word-formation. Prepare a list of Greek derivatives used in some special field of interest, such as botany, zoölogy, politics, philosophy, religion, literature. Consult standard works in the particular field to discover the words. Study their formation in an unabridged English dictionary.

---

[1] This oath was taken by every Athenian lad of eighteen years, probably at the close of his first year of military training, when the State presented him with shield and spear.

[2] Comparative of ἀγαθός.

[3] *Commons* or *commonwealth*.

LESSON LXXVII

SUMMARY OF OPTATIVE FORMS AND USES

δεινὸν δ' ἐστὶν ἡ μὴ 'μπειρία. — A fearful thing is inexperience.[1]

488. Forms of the Optative. Review all optative forms. Note that the stem is that of the corresponding tense of the indicative and that ι occurs in all its forms.

489. Uses of the Optative. Having clearly in mind the clues that indicate an optative, review the possible uses of the optative (§ 545, *c*). The optative is essentially a *mood of futurity*, expressing a *wish in the future* or a *contingent future action*, and from these ideas almost all its uses are derived. Fix clearly the difference in meaning conveyed by the present and aorist tenses, both in indirect discourse and not in indirect discourse (§ 546, *a* and *c*).

490. VOCABULARY

βλάπτω, βλάψω, ἔβλαψα, βέβλαφα, βέβλαμμαι, ἐβλάφθην, ἐβλάβην: *harm, hinder.*

ἔμ-πειρος, -ον: *acquainted with.* Cf. **πειράομαι.** EMPIRICISM.

ἐν-θῡμέομαι, -θῡμήσομαι, -τεθῡμημαι, -εθῡμήθην: *have in mind, consider, reflect.*

ἴδιος, -ᾱ, -ον: *private, peculiar.* IDIOM, IDIOSYNCRASY.

πλέθρον, -ου, τό: *plethron* (100 ft.).

σημαίνω, σημανῶ, ἐσήμηνα, σεσήμασμαι, ἐσημάνθην: *give a signal, signify, betoken.* SEMANTIC, SEMAPHORE.

491. EXERCISES

(*a*) Translate:

1. *ἀλλ' εἴ τις αὐτὸν βλάπτοι, ἐτῑμωρεῖτο.* 2. *τότε δὴ ἠρώτησεν εἰ δέοι τοὺς ἐμπείρους φθάνειν ὠνουμένους τὰ ἐπι-*

[1] Aristophanes, *Ecclesiazusæ*, 115.

τήδεια. 3. *τίς ἂν ταῦτα ἐνθῡμούμενος ἔτι ἐκείνῳ ὀρθῶς πείθοιτο ;* 4. *εἰ γὰρ ἡμῖν δοίη ἡγεμόνα πιστόν.* 5. *εἰ τὸ τοῦ ποταμοῦ εὖρος τριῶν ἢ τεττάρων πλέθρων εἴη, δέοι ἂν πλοίοις χρῆσθαι.* 6. *ὅστις δὲ τοῖς ἰδίοις μὴ καλῶς χρήσαιτο, πῶς ἂν οὗτος οὐ βλάψειε τὰ ἑτέρου ;* 7. *ἐδεδοίκεμεν δὲ μὴ ἐκεῖνος περὶ τοῦ στρατεύματος βασιλεῖ σημήνειεν.* 8. *εἶπεν οὖν ὅτι οἱ φυγάδες εἰς τὸ ἴδιον κατα-θεῖντο αὐτοῖς τὰ χρήματα.*

(*b*) Write in Greek:

1. May no one harm the children. 2. Clearchus said (**εἶπε**) that the sacrifices were favorable. 3. Who might deprive us of our freedom? 4. In order to stop the noise, he gave the signal to march. 5. If you should consider these things (well), you would not burn the city.

492. DURING THE TERROR

δια-λαβόντες δὲ τὰς οἰκίας ἔβαινον. καὶ ἐμὲ μὲν ξένους ἑστιῶντα (*feasting*) *κατ-έλαβον, οὓς ἐξ-ελάσαντες* Πείσωνί *με παρα-διδόᾶσιν· οἱ δ' ἄλλοι εἰς τὸ ἐργαστήριον* (compare **ἔργον**) *ἐλθόντες τὰ ἀνδράποδα* (*slaves*) *εἶλον. ἐγὼ δὲ* Πείσωνα *μὲν ἠρώτων εἰ βούλοιτό με σῶσαι χρήματα λαβών. ὁ δ' ἔφη, εἰ πολλὰ εἴη. εἶπον οὖν ὅτι τάλαντον ἀργυρίου ἐθέλοιμι δοῦναι. ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν. ἐγὼ δ' εἰσ-ελθὼν εἰς τὸ δωμάτιον* (*bedroom*) *τὴν κῖβωτὸν* (*chest*) *ἀν-οίγῡμι* (*open up*)· Πείσων δ' *αἰσθόμενος εἰσ-έρχεται, καὶ ἰδὼν τὰ ἐν-όντα καλεῖ τῶν ὑπ-ηρετῶν* (*servants*) *δύο καὶ τὰ ἐν τῇ κῖβωτῷ λαβεῖν ἐκέλευσεν. ἐπεὶ δὲ τρία τάλαντα εἶχεν ἀργυρίου καὶ ἄλλα πολλά, ἐδεόμην αὐτοῦ ἐφ-όδιά* (= *τὰ ἐπὶ τὴν ὁδόν*) *μοι δοῦναι. ὁ δ' εὐ-τυχήσειν* (compare **τυγχάνω**) *μ' ἔφη, εἰ τὸ σῶμα σώσω. ἔμ-πειρος μὲν οὖν ὢν ἐτύγχανον τῆς οἰκίας καὶ ᾔδη ὅτι ἀμφί-θυρος εἴη· ἐδόκει οὖν ταύτῃ πειρᾶσθαι σωθῆναι· ἐν-εθῡμούμην γὰρ ὅτι ἐὰν μὲν*

λάθω, σωθήσομαι, ἐὰν δὲ ληφθῶ, ὁμοίως ἀπο-θανοῦμαι. ὥστε ἔφευγον, ἐκείνων ἐπὶ τῇ αὐλείῳ (*courtyard*, that is, *street*) θύρᾳ τὴν φυλακὴν ποιουμένων· τριῶν δὲ θυρῶν οὐσῶν, ἃς ἔδει με δι-ελθεῖν, ἅπασαι ἀν-εῳγμέναι ἔτυχον.

Adapted from Lysias, *Eratosthenes*, 8–16.

Βουλευτήριον

This attractive little Senate House recently unearthed at Messene reminds us that the ancient Greeks preferred sunshine to stuffy halls.

493. Word-formation. Nouns in **-τηριον** denote place:

βουλή *senate*, βουλευτής *senator*, βουλευτήριον *senate house*;
ἔργον *work*, ἐργαστής *workman*, ἐργαστήριον *workshop*;
κοιμάω *put to sleep*, κοιμητήριον *sleeping place*, CEMETERY.

Ὅμηρος

LESSON LXXVIII

SUMMARY OF IMPERATIVE FORMS AND USES

θεῖος Ὅμηρος. — *Divine Homer.*[1]

494. Forms of the Imperative. Review all imperative forms. Note that the stem is that of the corresponding tense of the indicative, and that some of the clues are: **-ε** (stem being without augment), **-θι** (or **-τι**), **-τω**, **-σθω**, **-ντων**, **-σθων**.

495. Uses of the Imperative. Having clearly in mind the clues that indicate an imperative, review the possible uses of the imperative (§ 545, *d*). The imperative expresses a *command* or a *prohibition*. Note, however, that instead of an aorist imperative to express prohibition usually the aorist subjunctive is used. Fix clearly the difference in meaning conveyed by the present and aorist tenses (§ 546, *a* and *c*).

[1] Aristophanes, *Frogs*, 1034.

496. VOCABULARY

βασιλεία, -ᾱς, ἡ: *kingdom.*[1] Cf. **βασίλειος.**

κοινός, -ή, -όν: *common.*

νόμος, -ου, ὁ: *usage, law.* Cf. **νομίζω.** DEUTERONOMY.

οἴομαι, οἰήσομαι, ᾠήθην: *think, suppose.*

παρα-βαίνω; *transgress.* Cf. Lat. *transgredior.*

πούς, ποδός, ὁ: *foot, leg.* OCTOPUS.

ὑπο-ζύγιον, -ου, τό: *beast of burden.* Cf. **ζεύγνῡμι.**

497. EXERCISES

(*a*) Translate:

1. ἀλλ' ὅστις ἂν τοὺς νόμους παρα-βαίνῃ, τὴν δίκην δότω. 2. τὰ ὑπο-ζύγια τοίνυν εἰς τὸ στρατόπεδον ἄγετε, μὴ χαλεπὸν γένηται αὐτὰ λαβεῖν. 3. μήδ' οἷόν με στρατηγὸν ἂν γενέσθαι, εἰ μὴ πάντες ἄλλοι ἐτρώθησαν. 4. ὦ ἄνδρες στρατιῶται, τὰ ὅπλα λαβόντες περὶ τὴν ἐμὴν σκηνὴν κύκλῳ θέσθε. 5. μὴ αἰτιάσησθε τοὺς πελταστὰς ὅτι οὐκ ἐν τάξει μένοντες τοὺς πολεμίους ἐδέχοντο. 6. πάντα τὰ κοινὰ εἰς πλοῖα θῶμεν καὶ ἀπο-πλέωμεν. 7. τὸν αὐτὸν ὅρκον καὶ ὑμεῖς ὄμνυτε. 8. ὁπλίζου οὖν ὡς τάχιστα καὶ ἴθι εἰς τὸ πρόσθεν.

(*b*) Write in Greek:

1. Do not be supposing that he is going willingly. 2. Let us proceed in a circle until we see them signal. 3. Do not transgress the law. 4. Give them as many beasts of burden as they want. 5. Let them put their common belongings (*things*) into the ship.

498. THE LORD'S PRAYER

The New Testament was written in a dialect called the **κοινή** or "*vulgar*," that is, "*common.*" This dialect was the result of changes which Greek underwent after the

[1] Do not confuse with τὰ *βασίλεια palace*, or ἡ *βασίλεια queen.*

conquests of Alexander had made it the international language. When we reflect that four hundred years had elapsed between the close of the "classic" age and the writing of the New Testament, the wonder is that the changes were not more numerous.

The passage here printed is so familiar in English that to supply a translation seems unnecessary. See how much you can understand without turning to the general vocabulary.

Οὕτως οὖν προσ-εύχεσθε ὑμεῖς
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς·
Ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθάτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς·
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον.
καὶ ἄφ-ες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφ-ήκαμεν τοῖς ὀφειλέταις ἡμῶν·
καὶ μὴ εἰσ-ενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

St. Matthew, VI. 9–12.

Identify all imperatives and imperatival expressions in this passage.

499. FATHER AND SON

Homer's Iliad is the world's first and greatest epic. It tells the events of a few days in the tenth year of a war waged by Greeks around the walls of Troy. But more than that, it is an epic of human life.

One of the unforgettable scenes, true to the life of all

ages, is the parting of Hector, chief warrior of the Trojans, from his wife and child. A detail of the scene follows.

At first the child shrinks back with a shriek, being frightened by his father's gorgeous helmet. With a laugh Hector removes the helmet and the child comes to him.

. . . ὅ γ' ὃν (=τὸν) φίλον υἱὸν ἐπεὶ κύσε (*kissed*) πῆλέ (*tossed*) τε χερσίν,
εἶπεν ἐπ-ευξάμενος Διί τ' ἄλλοισίν τε θεοῖσιν (θεοῖς)·
Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι
παῖδ' ἐμόν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα (*eminent*) Τρώεσσιν,

The Parting of Hector and Andromache

ὧδε βίην (βίᾱν) τ' ἀγαθὸν καὶ Ἰλίου ἶφι (*mightily*) ἀνάσσειν.
καί ποτέ τις εἴποι, πατρός γ' ὅδε πολλὸν (πολὺ) ἀμείνων.
ἐκ πολέμου ἀν-ιόντα· φέροι δ' ἔναρα (*spoils*) βροτόεντα
κτείνᾱς δήιον (*foe-*) ἄνδρα, χαρείη (*be glad*) δὲ φρένα[1] (*heart*)
μήτηρ. Homer, *Iliad*, VI. 474–481.

[1] Page 144, note 2.

500. The Iliad has had an incalculable influence on the literature of the world. It has been read in the schools by boys of all nations from the earliest days of Greece to the present time. Greek poets quoted it, Latin poets borrowed from it, most modern poets have attempted to translate it. Keats bears eloquent testimony to his own feelings:

ON FIRST LOOKING INTO CHAPMAN'S HOMER

Much have I travell'd in the realms of gold,
And many goodly states and kingdoms seen;
Round many western islands have I been
Which bards in fealty to Apollo hold.
Oft of one wide expanse had I been told
That deep-brow'd Homer ruled as his demesne:
Yet did I never breathe its pure serene
Till I heard Chapman speak out loud and bold:
Then felt I like some watcher of the skies
When a new planet swims into his ken;
Or like stout Cortez when with eagle eyes
He star'd at the Pacific — and all his men
Look'd at each other with a wild surmise —
Silent, upon a peak in Darien.

LESSON LXXIX

SUMMARY OF INDICATIVE FORMS AND USES

Ζεὺς σωτὴρ καὶ νίκη. — Zeus, saviour, and Victory.[1]

501. Forms of the Indicative. Review all indicative forms. Unless an indication of some other mood occurs,

Ewing Galloway.

THE TEMPLE OF THE WINGLESS VICTORY

it is well to assume that the form is indicative. Context may suggest at once that the indicative is the only possible mood. Augment, except where used instead of reduplica-

[1] Xenophon, *Anabasis*, I. 8. 16. This was the watch-word of the Greeks at the battle of Cunaxa.

tion, suggests a past tense of the indicative. A simple **ο** or **ε** before the personal ending is usually (not always) another clue to an indicative.

502. Uses of the Indicative. Having clearly in mind the forms of the indicative, review its possible uses (§ 545, *a*). The indicative essentially *declares a fact*, asks a question that anticipates such a declaration, or conveys an exclamation. Variation of use in main and subordinate clauses must be learned. Note the implication of an indicative in indirect discourse after past tenses. Fix clearly the difference in meaning conveyed by the tenses, especially the present, imperfect, and aorist (§ 546).

503. VOCABULARY

κάθημαι, pres. and imperf.[1] only: *sit down, be seated.*
CATHEDRAL.

ὅσ-περ, ἥ-περ, ὅ-περ, intensive form of *ὅς, ἥ, ὅ*. Cf. **ὥσ-περ**.

πίμπλημι, πλήσω, ἔπλησα, πέπληκα, πέπλημαι or *πέπλησμαι, ἐπλήσθην*: *fill*, with G. of the thing. Cf. **πλή-ρης, πλή-θος**.

πλευρά, -ᾶς, ἡ: *rib, side.*
PLEURISY.

σπένδομαι, ἐσπεισάμην, ἔσπεισμαι: *pour libation for oneself, make a treaty.* Cf. **σπονδαί**.

504. EXERCISES

(*a*) Translate:

1. *τότε δὴ ἀθρόοι ἐκαθήμεθα θαυμάζοντες ὅτι σίτου οὔπω ἔπλησαν τὸ πλοῖον.* 2. *κατα-στὰς εἰς τὴν βασιλείαν πρὸς τοὺς ἐναντίους ἐσπείσατο.* 3. *ἐπεὶ οὖν συν-εβουλεύετό μοι, τοῦ μάντεως ἠμέλησα.* 4. *ἀλλ' εἰ μὴ ἔπλησαν ὁπλιτῶν πᾶσαν τὴν ὁδόν, οὐκ ἂν ἐσπεισάμεθα.* 5. *εἰ γὰρ οἱ Ἕλληνες μὴ ἐπίστευσαν τῷ βαρβάρῳ, ὅσπερ αὐτοὺς ἀπ-εστέρησε τῶν χρημάτων.* 6. *ἡ δὲ μήτηρ, ἥπερ καὶ ἀπ-έλῡσεν αὐτὸν ἀπὸ τῶν κινδύνων, συν-έπρᾶττε ταῦτα.*

[1] Imperfect, *ἐκαθήμην* or *καθήμην*.

7. *ἀλλὰ ἐδεδαπάνητο τὰ χρήματα, ὥστε οὐκ ἐδύνατο ὠνεῖσθαι τὰ ὑποζύγια.* 8. *ἐπι-μελησόμεθα τοίνυν ὅπως ὡς ἄριστα ἀπο-θανούμεθα.*

(*b*) Write in Greek:

1. Who is seeing to it that the citizens choose a good ruler? 2. If he had not given the signal to start, I should still be seated. 3. Cyrus paid (them) with the result that the Greeks were again willing to follow him. 4. He did not cease doing wrong until he himself had suffered many ills. 5. Would that the people of the village had filled the boat with food.

505. LEARNING IS BUT RECOLLECTION

One of Plato's most famous doctrines is that of *ἀνά-μνησις recollection.* The soul in its previous existence in the spirit world knows all things perfectly. At birth, it loses that perfect knowledge and only recovers it by dint of effort.

Καὶ μήν, ἔφη ὁ Κέβης, ὦ Σώκρατες, εἰ ἀληθής ἐστιν ὁ λόγος ὃν σὺ λέγεις, ὅτι ἡμῖν ἡ μάθησις οὐκ ἄλλο τι ἢ ἀνάμνησις τυγχάνει οὖσα, ἀνάγκη που ἡμᾶς ἐν προτέρῳ τινὶ χρόνῳ μεμαθηκέναι ἃ νῦν ἀνα-μιμνησκόμεθα. τοῦτο δὲ ἀδύνατον, εἰ μὴ ἦν που ἡμῶν ἡ ψῡχὴ πρὶν ἐν τῷδε τῷ ἀνθρωπίνῳ σώματι γενέσθαι· ὥστε οὕτως ἀθάνατόν τι δοκεῖ ἡ ψῡχὴ εἶναι. Ἀλλ', ὦ Κέβης, ἔφη ὁ Σιμμίᾱς, ποῖαι τούτων αἱ ἀπο-δείξεις (compare **ἀπο-δείκνῡμι**); *ὑπό-μνησόν με· οὐ γὰρ πάνυ ἐν τῷ παρ-όντι μέμνημαι. Ἐνὶ μὲν λόγῳ, ἔφη ὁ Κέβης, καλλίστῳ, ὅτι ἐρωτώμενοι οἱ ἄνθρωποι, ἐάν τις καλῶς ἐρωτᾷ, αὐτοὶ λέγουσι πάντα ὅπως ἔχει· καίτοι εἰ μὴ ἐτύγχανεν αὐτοῖς ἐπιστήμη* (*knowledge*) *ἐν-οῦσα καὶ ὀρθὸς λόγος, οὐκ ἂν οἷοί τ' ἦσαν τοῦτο ποιῆσαι.*

Adapted from Plato, *Phædo,* XVIII. 72E–73A.

Compare these lines from Wordsworth's Ode, *Intimations of Immortality:*

Our birth is but a sleep and a forgetting:
The Soul that rises with us, our life's star,
Hath had elsewhere its setting,
And cometh from afar:
Not in entire forgetfulness,
And not in utter nakedness,
But trailing clouds of glory do we come
From God, who is our home.

506. WHAT IS TRUTH?

ἡ περὶ τῆς ἀληθείᾱς (compare **ἀληθής**) θεωρίᾱ (*inquiry*) τῇ μὲν χαλεπὴ τῇ δὲ ῥᾳδίᾱ· σημεῖον (compare **σημαίνω**) δὲ τὸ μήτε ἀξίως μηδένα δύνασθαι τυχεῖν αὐτῆς μήτε πάντως ἀπο-τυγχάνειν ἀλλὰ ἕκαστον λέγειν τι περὶ τῆς φύσεως, ἐκ πάντων δὲ συν-αθροιζομένων γίγνεσθαί τι μέγεθος (compare **μέγας**). Aristotle, *Metaphysics*, 993. A. 30. (Carved on the façade of the National Academy of Sciences, Washington, D. C.)

Courtesy National Academy of Sciences.

SEEKERS OF THE TRUTH

GRAMMATICAL APPENDIX
AND
DICTIONARY OF PROPER NAMES

GRAMMATICAL APPENDIX

NOUNS

507. A-Declension

(*a*) Feminines

S. N. V.	στρατιᾱ́	χώρᾱ	σκηνή	κώμη	μάχη	γέφῡρα	ἄμαξα
G.	στρατιᾶς	χώρᾱς	σκηνῆς	κώμης	μάχης	γεφύρᾱς	ἀμάξης
D.	στρατιᾷ	χώρᾳ	σκηνῇ	κώμῃ	μάχῃ	γεφύρᾳ	ἀμάξῃ
A.	στρατιᾱ́ν	χώρᾱν	σκηνήν	κώμην	μάχην	γέφῡραν	ἄμαξαν
D. N. A. V.	στρατιᾱ́	χώρᾱ	σκηνᾱ́	κώμᾱ	μάχᾱ	γεφύρᾱ	ἀμάξᾱ
G. D.[1]	στρατιαῖν	χώραιν	σκηναῖν	κώμαιν	μάχαιν	γεφύραιν	ἀμάξαιν
P. N. V.	στρατιαί	χῶραι	σκηναί	κῶμαι	μάχαι	γέφῡραι	ἄμαξαι
G.	στρατιῶν	χωρῶν	σκηνῶν	κωμῶν	μαχῶν	γεφῡρῶν	ἀμαξῶν
D.	στρατιαῖς	χώραις	σκηναῖς	κώμαις	μάχαις	γεφύραις	ἀμάξαις
A.	στρατιᾱ́ς	χώρᾱς	σκηνᾱ́ς	κώμᾱς	μάχᾱς	γεφύρᾱς	ἀμάξᾱς

(*b*) Masculines

S. N.	Ξενίᾱς	στρατιώτης	πελταστής
G.	Ξενίου	στρατιώτου	πελταστοῦ
D.	Ξενίᾳ	στρατιώτῃ	πελταστῇ
A.	Ξενίᾱν	στρατιώτην	πελταστήν
V.	Ξενίᾱ	στρατιῶτα	πελταστά
D. N. A. V.		στρατιώτᾱ	πελταστᾱ́
G. D.		στρατιώταιν	πελταστᾶῖν
P. N. V.		στρατιῶται	πελτασταί
G.		στρατιωτῶν	πελταστῶν
D.		στρατιώταις	πελτασταῖς
A.		στρατιώτᾱς	πελταστᾱ́ς

[1] In the *dual*, but two forms occur, the one serving as either nominative, accusative, or vocative, the other as either genitive or dative. The dual number is generally restricted in usage to two persons or things that form a natural pair. It is uncommon except in epic poetry.

(*c*) Contract Nouns

S. N.	(γέᾱ)	γῆ, ἡ	(Ἑρμέᾱς)	Ἑρμῆς, ὁ
G.	(γέᾱς)	γῆς	(Ἑρμέου)	Ἑρμοῦ
D.	(γέᾳ)	γῇ	(Ἑρμέᾳ)	Ἑρμῇ
A.	(γέᾱν)	γῆν	(Ἑρμέᾱν)	Ἑρμῆν
V.	(γέᾱ)	γῆ	(Ἑρμέᾱ)	Ἑρμῆ
D. N. A. V.			(Ἑρμέᾱ)	Ἑρμᾶ
G. D.			(Ἑρμέαιν)	Ἑρμαῖν
P. N. V.			(Ἑρμέαι)	Ἑρμαῖ
G.			(Ἑρμεῶν)	Ἑρμῶν
D.			(Ἑρμέαις)	Ἑρμαῖς
A.			(Ἑρμέᾱς)	Ἑρμᾶς

508. O-Declension

(*a*) Masculines

S. N.	ποταμός	φίλος	ἄνθρωπος	οἶνος
G.	ποταμοῦ	φίλου	ἀνθρώπου	οἴνου
D.	ποταμῷ	φίλῳ	ἀνθρώπῳ	οἴνῳ
A.	ποταμόν	φίλον	ἄνθρωπον	οἶνον
V.	ποταμέ	φίλε	ἄνθρωπε	οἶνε
D. N. A. V.	ποταμώ	φίλω	ἀνθρώπω	οἴνω
G. D.	ποταμοῖν	φίλοιν	ἀνθρώποιν	οἴνοιν
P. N. V	ποταμοί	φίλοι	ἄνθρωποι	οἶνοι
G.	ποταμῶν	φίλων	ἀνθρώπων	οἴνων
D.	ποταμοῖς	φίλοις	ἀνθρώποις	οἴνοις
A.	ποταμούς	φίλους	ἀνθρώπους	οἴνους

(*b*) Neuters

S. N.	παλτόν	πεδίον	δῶρον
G.	παλτοῦ	πεδίου	δώρου
D.	παλτῷ	πεδίῳ	δώρῳ
A.	παλτόν	πεδίον	δῶρον
V.	παλτόν	πεδίον	δῶρον
D. N. A. V.	παλτώ	πεδίω	δώρω
G. D.	παλτοῖν	πεδίοιν	δώροιν
P. N. V.	παλτά	πεδία	δῶρα
G.	παλτῶν	πεδίων	δώρων
D.	παλτοῖς	πεδίοις	δώροις
A.	παλτά	πεδία	δῶρα

(*c*) Contract Noun

	(νόος)	νοῦς, ὁ
	(νόου)	νοῦ
	(νόῳ)	νῷ
	(νόον)	νοῦν
	(νόε)	νοῦ
	(νόω)	νώ
	(νόοιν)	νοῖν
	(νόοι)	νοῖ
	(νόων)	νῶν
	(νόοις)	νοῖς
	(νόους)	νοῦς

509. Consonant Declension

(*a*) Π-mute and K-mute Stems

S. N. V.	κλώψ, ὁ	κῆρυξ, ὁ	φάλαγξ, ἡ	Θρᾷξ, ὁ
G.	κλωπός	κήρῡκος	φάλαγγος	Θρᾳκός
D.	κλωπί	κήρῡκι	φάλαγγι	Θρᾳκί
A.	κλῶπα	κήρῡκα	φάλαγγα	Θρᾷκα
D. N. A. V.	κλῶπε	κήρῡκε	φάλαγγε	Θρᾷκε
G. D.	κλωποῖν	κηρῡ́κοιν	φαλάγγοιν	Θρᾳκοῖν
P. N. V.	κλῶπες	κήρῡκες	φάλαγγες	Θρᾷκες
G.	κλωπῶν	κηρῡ́κων	φαλάγγων	Θρᾳκῶν
D.	κλωψί	κήρυξι	φάλαγξι	Θρᾳξί
A.	κλῶπας	κήρῡκας	φάλαγγας	Θρᾷκας

(*b*) T-mute Stems

S. N. V.	ἀσπίς, ἡ	χάρις, ἡ	πούς, ὁ	νύξ, ἡ	ἄρχων, ὁ	ἄρμα, τό
G.	ἀσπίδος	χάριτος	ποδός	νυκτός	ἄρχοντος	ἄρματος
D.	ἀσπίδι	χάριτι	ποδί	νυκτί	ἄρχοντι	ἄρματι
A.	ἀσπίδα	χάριν	πόδα	νύκτα	ἄρχοντα	ἄρμα
D. N. A. V.	ἀσπίδε	χάριτε	πόδε	νύκτε	ἄρχοντε	ἄρματε
G. D.	ἀσπίδοιν	χαρίτοιν	ποδοῖν	νυκτοῖν	ἀρχόντοιν	ἀρμάτοιν
P. N. V.	ἀσπίδες	χάριτες	πόδες	νύκτες	ἄρχοντες	ἄρματα
G.	ἀσπίδων	χαρίτων	ποδῶν	νυκτῶν	ἀρχόντων	ἁρμάτων
D.	ἀσπίσι	χάρισι	ποσί	νυξί	ἄρχουσι	ἅρμασι
A.	ἀσπίδας	χάριτας	πόδας	νύκτας	ἄρχοντας	ἅρματα

(*c*) Liquid Stems

S. N.	ἀγών, ὁ	ἡγεμών, ὁ	Ἕλλην, ὁ	ῥήτωρ, ὁ
G.	ἀγῶνος	ἡγεμόνος	Ἕλληνος	ῥήτορος
D.	ἀγῶνι	ἡγεμόνι	Ἕλληνι	ῥήτορι
A.	ἀγῶνα	ἡγεμόνα	Ἕλληνα	ῥήτορα
V.	ἀγών	ἡγεμών	Ἕλλην	ῥῆτορ
D. N. A. V.	ἀγῶνε	ἡγεμόνε	Ἕλληνε	ῥήτορε
G. D.	ἀγώνοιν	ἡγεμόνοιν	Ἑλλήνοιν	ῥητόροιν
P. N. V.	ἀγῶνες	ἡγεμόνες	Ἕλληνες	ῥήτορες
G.	ἀγώνων	ἡγεμόνων	Ἑλλήνων	ῥητόρων
D.	ἀγῶσι	ἡγεμόσι	Ἕλλησι	ῥήτορσι
A.	ἀγῶνας	ἡγεμόνας	Ἕλληνας	ῥήτορας

(*d*) Syncopated Liquid Stems

S. N.		πατήρ, ὁ		μήτηρ, ἡ		ἀνήρ, ὁ
G.	(πατέρ-ος)	πατρός	(μητέρ-ος)	μητρός	(ἀνέρ-ος)	ἀνδρός
D.	(πατέρ-ι)	πατρί	(μητέρ-ι)	μητρί	(ἀνέρ-ι)	ἀνδρί
A.		πατέρα		μητέρα	(ἀνέρ-α)	ἄνδρα
V.		πάτερ		μῆτερ		ἄνερ
D. N. A. V.		πατέρε		μητέρε	(ἀνέρ-ε)	ἄνδρε
G. D.		πατέροιν		μητέροιν	(ἀνέρ-οιν)	ἀνδροῖν
P. N. V.		πατέρες		μητέρες	(ἀνέρ-ες)	ἄνδρες
G.		πατέρων		μητέρων	(ἀνέρ-ων)	ἀνδρῶν
D.		πατράσι		μητράσι		ἀνδράσι
A.		πατέρας		μητέρας	(ἀνέρ-ας)	ἄνδρας

(*e*) Stems in σ

S. N.	γένος, τό		τριήρης, ἡ		κέρας, τό		
G.	(γένεος)	γένους	(τριήρε-ος)	τριήρους	κέρᾱτος	(κέραος)	κέρως
D.	(γένεϊ)	γένει	(τριήρε-ϊ)	τριήρει	κέρᾱτι	(κέραϊ)	κέραι
A.		γένος	(τριήρε-α)	τριήρη		κέρας	
V.		γένος		τριῆρες		κέρας	
D. N. A. V.	(γένεε)	γένει	(τριήρε-ε)	τριήρει	κέρᾱτε	(κέρᾰε)	κέρᾱ
G. D.	(γενέοιν)	γενοῖν	(τριηρέ-οιν)	τριήροιν	κερᾰ́τοιν	(κεράοιν)	κερῷν
P. N. V.	(γένεα)	γένη	(τριήρε-ες)	τριήρεις	κέρᾱτα	(κέραα)	κέρᾱ
G.	γενέων	γενῶν	(τριηρέ-ων)	τριήρων	κερᾰ́των	(κεράων)	κερῶν
D.		γένεσι		τριήρεσι		κέρᾱσι	
A.	(γένεα)	γένη		τριήρεις	κέρᾱτα	(κέραα)	κέρᾱ

(*f*) Stems in ι and υ

S. N.		πόλις, ἡ		ἄστυ, τό		ἰχθῦς, ὁ
G.		πόλεως		ἄστεως		ἰχθύος
D.	(πόλε-ϊ)	πόλει	(ἄστε-ϊ)	ἄστει		ἰχθύϊ
A.		πόλιν		ἄστυ		ἰχθῦν
V.		πόλι		ἄστυ		ἰχθῦ
D. N. A. V.	(πόλε-ε)	πόλει	(ἄστε-ε)	ἄστει		ἰχθύε
G. D.		πολέοιν		ἀστέοιν		ἰχθύοιν
P. N. V.	(πόλε-ες)	πόλεις	(ἄστε-α)	ἄστη		ἰχθύες
G.		πόλεων		ἄστεων		ἰχθύων
D.		πόλεσι		ἄστεσι		ἰχθύσι
A.		πόλεις	(ἄστε-α)	ἄστη		ἰχθῦς

(*g*) Stems in a Diphthong

S. N.	βασιλεύς, ὁ	βοῦς, ὁ or ἡ	ναῦς, ἡ
G.	βασιλέως	βοός	νεώς
D.	βασιλεῖ	βοΐ	νηΐ
A.	βασιλέᾱ	βοῦν	ναῦν
V.	βασιλεῦ	βοῦ	ναῦ
D. N. A. V.	βασιλῆ	βόε	νῆε
G. D.	βασιλέοιν	βοοῖν	νεοῖν
P. N. V.	(βασιλέ-ες) βασιλεῖς	βόες	νῆες
G.	βασιλέων	βοῶν	νεῶν
D.	βασιλεῦσι	βουσί	ναυσί
A.	βασιλέᾱς	βοῦς	ναῦς

GODS FROM THE PARTHENON

This slab occupies a central place in the famous Parthenon frieze. The three deities, Poseidon, Apollo, and Artemis, seem to be watching the approach of the procession that is the motive of the frieze.

ADJECTIVES

510. A- AND O-DECLENSION

(*a*) Three Endings

	M.	F.	N.	M.	F.	N.
S. N.	ἀγαθός	ἀγαθή	ἀγαθόν	ἄξιος	ἀξίᾱ	ἄξιον
G.	ἀγαθοῦ	ἀγαθῆς	ἀγαθοῦ	ἀξίου	ἀξίᾱς	ἀξίου
D.	ἀγαθῷ	ἀγαθῇ	ἀγαθῷ	ἀξίῳ	ἀξίᾳ	ἀξίῳ
A.	ἀγαθόν	ἀγαθήν	ἀγαθόν	ἄξιον	ἀξίᾱν	ἄξιον
V.	ἀγαθέ	ἀγαθή	ἀγαθόν	ἄξιε	ἀξίᾱ	ἄξιον
D. N. A. V.	ἀγαθώ	ἀγαθᾱ́	ἀγαθώ	ἀξίω	ἀξίᾱ	ἀξίω
G. D.	ἀγαθοῖν	ἀγαθαῖν	ἀγαθοῖν	ἀξίοιν	ἀξίαιν	ἀξίοιν
P. N. V.	ἀγαθοί	ἀγαθαί	ἀγαθά	ἄξιοι	ἄξιαι	ἄξια
G.	ἀγαθῶν	ἀγαθῶν	ἀγαθῶν	ἀξίων	ἀξίων	ἀξίων
D.	ἀγαθοῖς	ἀγαθαῖς	ἀγαθοῖς	ἀξίοις	ἀξίαις	ἀξίοις
A.	ἀγαθούς	ἀγαθᾱ́ς	ἀγαθά	ἀξίους	ἀξίᾱς	ἄξια

	M.	F.	N.	M.	F.	N.
S. N.	μῑκρός	μῑκρᾱ́	μῑκρόν	δῆλος	δήλη	δῆλον
G.	μῑκροῦ	μῑκρᾶς	μῑκροῦ	δήλου	δήλης	δήλου
		κ.τ.λ.			κ.τ.λ.	
P. N. V.	μῑκροί	μῑκραί	μῑκρά	δῆλοι	δῆλαι	δῆλα
G.	μῑκρῶν	μῑκρῶν	μῑκρῶν	δήλων	δήλων	δήλων
		κ.τ.λ.			κ.τ.λ.	

(*b*) Two Endings

	M. AND F.	N.
S. N.	ἀδιάβατος	ἀδιάβατον
G.	ἀδιαβάτου	ἀδιαβάτου
D.	ἀδιαβάτῳ	ἀδιαβάτῳ
A.	ἀδιάβατον	ἀδιάβατον
V.	ἀδιάβατε	ἀδιάβατον
D. N. A. V.	ἀδιαβάτω	ἀδιαβάτω
G. D.	ἀδιαβάτοιν	ἀδιαβάτοιν
P. N. V.	ἀδιάβατοι	ἀδιάβατα
G.	ἀδιαβάτων	ἀδιαβάτων
D.	ἀδιαβάτοις	ἀδιαβάτοις
A.	ἀδιαβάτους	ἀδιάβατα

(*c*) Contract Adjectives

	M.		F.		N.	
S. N.	(χρύσεος)	χρῡσοῦς	(χρῡσέᾱ)	χρῡσῆ	(χρύσεον)	χρῡσοῦν
G.	(χρῡσέου)	χρῡσοῦ	(χρῡσέᾱς)	χρῡσῆς	(χρῡσέου)	χρῡσοῦ
D.	(χρῡσέῳ)	χρῡσῷ	(χρῡσέᾳ)	χρῡσῇ	(χρῡσέῳ)	χρῡσῷ
A.	(χρύσεον)	χρῡσοῦν	(χρῡσέᾱν)	χρῡσῆν	(χρύσεον)	χρῡσοῦν
D. N. A.	(χρῡσέω)	χρῡσώ	(χρῡσέᾱ)	χρῡσᾶ	(χρῡσέω)	χρῡσώ
G. D.	(χρῡσέοιν)	χρῡσοῖν	(χρῡσέαιν)	χρῡσαῖν	(χρῡσέοιν)	χρῡσοῖν
P. N.	(χρύσεοι)	χρῡσοῖ	(χρύσεαι)	χρῡσαῖ	(χρύσεα)	χρῡσᾶ
G.	(χρῡσέων)	χρῡσῶν	(χρῡσέων)	χρῡσῶν	(χρῡσέων)	χρῡσῶν
D.	(χρῡσέοις)	χρῡσοῖς	(χρῡσέαις)	χρῡσαῖς	(χρῡσέοις)	χρῡσοῖς
A.	(χρῡσέους)	χρῡσοῦς	(χρῡσέᾱς)	χρῡσᾶς	(χρύσεα)	χρῡσᾶ

511. Consonant and A-Declension

	M.	F.	N.	M.	F.	N.
S. N.	χαρίεις	χαρίεσσα	χαρίεν	πᾶς	πᾶσα	πᾶν
G.	χαρίεντος	χαριέσσης	χαρίεντος	παντός	πάσης	παντός
D.	χαρίεντι	χαριέσσῃ	χαρίεντι	παντί	πάσῃ	παντί
A.	χαρίεντα	χαρίεσσαν	χαρίεν	πάντα	πᾶσαν	πᾶν
V.	χαρίεν	χαρίεσσα	χαρίεν	πᾶν	πᾶσα	πᾶν
D. N. A. V.	χαρίεντε	χαριέσσᾱ	χαρίεντε			
G. D.	χαριέντοιν	χαριέσσαιν	χαριέντοιν			
P. N. V.	χαρίεντες	χαρίεσσαι	χαρίεντα	πάντες	πᾶσαι	πάντα
G.	χαριέντων	χαριεσσῶν	χαριέντων	πάντων	πᾶσῶν	πάντων
D.	χαρίεσι	χαριέσσαις	χαρίεσι	πᾶσι	πᾶσαις	πᾶσι
A.	χαρίεντας	χαριέσσᾱς	χαρίεντα	πάντας	πᾶσᾱς	πάντα

	M.	F.	N.	M.	F.	N.
S. N.	ἑκών	ἑκοῦσα	ἑκόν	μέλᾱς	μέλαινα	μέλαν
G.	ἑκόντος	ἑκούσης	ἑκόντος	μέλανος	μελαίνης	μέλανος
D.	ἑκόντι	ἑκούσῃ	ἑκόντι	μέλανι	μελαίνῃ	μέλανι
A.	ἑκόντα	ἑκοῦσαν	ἑκόν	μέλανα	μέλαιναν	μέλαν
V.	ἑκών	ἑκοῦσα	ἑκόν	μέλαν	μέλαινα	μέλαν
D. N. A. V.	ἑκόντε	ἑκούσᾱ	ἑκόντε	μέλανε	μελαίνᾱ	μέλανε
G. D.	ἑκόντοιν	ἑκούσαιν	ἑκόντοιν	μελάνοιν	μελαίναιν	μελάνοιν
P. N. V.	ἑκόντες	ἑκοῦσαι	ἑκόντα	μέλανες	μέλαιναι	μέλανα
G.	ἑκόντων	ἑκουσῶν	ἑκόντων	μελάνων	μελαινῶν	μελάνων
D.	ἑκοῦσι	ἑκούσαις	ἑκοῦσι	μέλασι	μελαίναις	μέλασι
A.	ἑκόντας	ἑκούσᾱς	ἑκόντα	μέλανας	μελαίνᾱς	μέλανα

	M.	F.	N.
S. N.	ταχύς	ταχεῖα	ταχύ
G.	ταχέος	ταχείᾱς	ταχέος
D.	ταχεῖ	ταχείᾳ	ταχεῖ
A.	ταχύν	ταχεῖαν	ταχύ
V.	ταχύ	ταχεῖα	ταχύ
D. N. A. V.	ταχέε	ταχείᾱ	ταχέε
G. D.	ταχέοιν	ταχείαιν	ταχέοιν
P. N. V.	ταχεῖς	ταχεῖαι	ταχέα
G.	ταχέων	ταχειῶν	ταχέων
D.	ταχέσι	ταχείαις	ταχέσι
A.	ταχεῖς	ταχείᾱς	ταχέα

512. Consonant Declension

	M. and F.	N.
S. N.	εὐδαίμων	εὔδαιμον
G.	εὐδαίμονος	εὐδαίμονος
D.	εὐδαίμονι	εὐδαίμονι
A.	εὐδαίμονα	εὔδαιμον
V.	εὔδαιμον	εὔδαιμον
D. N. A. V.	εὐδαίμονε	εὐδαίμονε
G. D.	εὐδαιμόνοιν	εὐδαιμόνοιν
P. N. V.	εὐδαίμονες	εὐδαίμονα
G.	εὐδαιμόνων	εὐδαιμόνων
D.	εὐδαίμοσι	εὐδαίμοσι
A.	εὐδαίμονας	εὐδαίμονα

	M. and F.		N.	
S. N.		ἀληθής		ἀληθές
G.	(ἀληθέ-ος)	ἀληθοῦς	(ἀληθέ-ος)	ἀληθοῦς
D.	(ἀληθέ-ϊ)	ἀληθεῖ	(ἀληθέ-ϊ)	ἀληθεῖ
A.	(ἀληθέ-α)	ἀληθῆ		ἀληθές
V.		ἀληθές		ἀληθές
D. N. A. V.	(ἀληθέ-ε)	ἀληθεῖ	(ἀληθέ-ε)	ἀληθεῖ
G. D.	(ἀληθέ-οιν)	ἀληθοῖν	(ἀληθέ-οιν)	ἀληθοῖν
P. N. V.	(ἀληθέ-ες)	ἀληθεῖς	(ἀληθέ-α)	ἀληθῆ
G.	(ἀληθέ-ων)	ἀληθῶν	(ἀληθέ-ων)	ἀληθῶν
D.		ἀληθέσι		ἀληθέσι
A.		ἀληθεῖς	(ἀληθέ-α)	ἀληθῆ

	M. and F.	N.
S. N. V.	ἡδέων	ἡδεῖον
G.	ἡδέονος	ἡδέονος
D.	ἡδέονι	ἡδέονι
A.	ἡδέονα, ἡδέω	ἡδεῖον
D. N. A. V.	ἡδέονε	ἡδέονε
G. D.	ἡδεόνοιν	ἡδεόνοιν
P. N. V.	ἡδέονες, ἡδέους	ἡδέονα, ἡδέω
G.	ἡδεόνων	ἡδεόνων
D.	ἡδέοσι	ἡδέοσι
A.	ἡδέονας, ἡδέους	ἡδέονα, ἡδέω

513. Irregular Declension

	M.	F.	N.	M.	F.	N.
S. N.	μέγας	μεγάλη	μέγα	πολύς	πολλή	πολύ
G.	μεγάλου	μεγάλης	μεγάλου	πολλοῦ	πολλῆς	πολλοῦ
D.	μεγάλῳ	μεγάλῃ	μεγάλῳ	πολλῷ	πολλῇ	πολλῷ
A.	μέγαν	μεγάλην	μέγα	πολύν	πολλήν	πολύ
V.	μεγάλε	μεγάλη	μέγα			
D. N. A. V.	μεγάλω	μεγάλᾱ	μεγάλω			
G. D.	μεγάλοιν	μεγάλαιν	μεγάλοιν			
P. N. V.	μεγάλοι	μεγάλαι	μεγάλα	πολλοί	πολλαί	πολλά
G.	μεγάλων	μεγάλων	μεγάλων	πολλῶν	πολλῶν	πολλῶν
D.	μεγάλοις	μεγάλαις	μεγάλοις	πολλοῖς	πολλαῖς	πολλοῖς
A.	μεγάλους	μεγάλᾱς	μεγάλα	πολλούς	πολλᾱ́ς	πολλά

The Walls of Tiryns

The great size of the stones with which Tiryns and Mycenae were fortified may explain the story that it was the work of the Cyclopes, a race of giants.

514. PARTICIPLES

(*a*) Present of εἰμί and 2 Aorist of λείπω

	M.	F.	N.
S. N. V.	ὤν	οὖσα	ὄν
G.	ὄντος	οὔσης	ὄντος
D.	ὄντι	οὔσῃ	ὄντι
A.	ὄντα	οὖσαν	ὄν
D. N. A. V.	ὄντε	οὔσᾱ	ὄντε
G. D.	ὄντοιν	οὔσαιν	ὄντοιν
P. N. V.	ὄντες	οὖσαι	ὄντα
G.	ὄντων	οὐσῶν	ὄντων
D.	οὖσι	οὔσαις	οὖσι
A.	ὄντας	οὔσᾱς	ὄντα

Second aorist active participles are declined like ὤν:

S. N. V.	λιπών	λιποῦσα	λιπόν
G.	λιπόντος	λιπούσης	λιπόντος
		κ.τ.λ.	

(*b*) Present and Future of παύω

S. N. V.	παύων	παύουσα	παῦον
G.	παύοντος	παυούσης	παύοντος
D.	παύοντι	παυούσῃ	παύοντι
A.	παύοντα	παύουσαν	παῦον
D. N. A. V.	παύοντε	παυούσᾱ	παύοντε
G. D.	παυόντοιν	παυούσαιν	παυόντοιν
P. N. V.	παύοντες	παύουσαι	παύοντα
G.	παυόντων	παυουσῶν	παυόντων
D.	παύουσι	παυούσαις	παύουσι
A.	παύοντας	παυούσᾱς	παύοντα

Future active participles are declined like παύων:

S. N. V.	παύσων	παύσουσα	παῦσον
G.	παύσοντος	παυσούσης	παύσοντος
		κ.τ.λ.	

Participles (*continued*)

(*c*) Aorist Active of *παύω*

	M.	F.	N.
S. N. V.	παύσᾱς	παύσᾶσα	παῦσαν
G.	παύσαντος	παυσάσης	παύσαντος
D.	παύσαντι	παυσάσῃ	παύσαντι
A.	παύσαντα	παύσᾶσαν	παῦσαν
D. N. A. V.	παύσαντε	παυσάσᾱ	παύσαντε
G. D.	παυσάντοιν	παυσάσαιν	παυσάντοιν
P. N. V.	παύσαντες	παύσᾶσαι	παύσαντα
G.	παυσάντων	παυσᾶσῶν	παυσάντων
D.	παύσᾶσι	παυσάσαις	παύσᾶσι
A.	παύσαντας	παυσάσᾱς	παύσαντα

(*d*) Perfect Active of *παύω*

S. N. V.	πεπαυκώς	πεπαυκυῖα	πεπαυκός
G.	πεπαυκότος	πεπαυκυίᾱς	πεπαυκότος
D.	πεπαυκότι	πεπαυκυίᾳ	πεπαυκότι
A.	πεπαυκότα	πεπαυκυῖαν	πεπαυκός
D. N. A. V.	πεπαυκότε	πεπαυκυίᾱ	πεπαυκότε
G. D.	πεπαυκότοιν	πεπαυκυίαιν	πεπαυκότοιν
P. N. V.	πεπαυκότες	πεπαυκυῖαι	πεπαυκότα
G.	πεπαυκότων	πεπαυκυιῶν	πεπαυκότων
D.	πεπαυκόσι	πεπαυκυίαις	πεπαυκόσι
A.	πεπαυκότας	πεπαυκυίᾱς	πεπαυκότα

(*e*) Aorist Passive of *παύω*

S. N. V.	παυθείς[1]	παυθεῖσα	παυθέν
G.	παυθέντος	παυθείσης	παυθέντος
D.	παυθέντι	παυθείσῃ	παυθέντι
A.	παυθέντα	παυθεῖσαν	παυθέν
D. N. A. V.	παυθέντε	παυθείσᾱ	παυθέντε
G. D.	παυθέντοιν	παυθείσαιν	παυθέντοιν
P. N. V.	παυθέντες	παυθεῖσαι	παυθέντα
G.	παυθέντων	παυθεισῶν	παυθέντων
D.	παυθεῖσι	παυθείσαις	παυθεῖσι
A.	παυθέντας	παυθείσᾱς	παυθέντα

[1] *τιθείς* is declined like *παυθείς*.

Participles (*continued*)

(*f*) Present Active of MI-Verbs

ἵστημι

	M.	F.	N.
S. N. V.	ἱστᾱ́ς	ἱστᾶσα	ἱστάν
G.	ἱστάντος	ἱστάσης	ἱστάντος
D.	ἱστάντι	ἱστάσῃ	ἱστάντι
A.	ἱστάντα	ἱστᾶσαν	ἱστάν
D. N. A. V.	ἱστάντε	ἱστάσᾱ	ἱστάντε
G. D.	ἱστάντοιν	ἱστάσαιν	ἱστάντοιν
P. N. V.	ἱστάντες	ἱστᾶσαι	ἱστάντα
G.	ἱστάντων	ἱστᾱσῶν	ἱστάντων
D.	ἱστᾶσι	ἱστᾱ́σαις	ἱστᾶσι
A.	ἱστάντας	ἱστᾱ́σᾱς	ἱστάντα

δείκνῡμι

S. N. V.	δεικνύς	δεικνῦσα	δεικνύν
G.	δεικνύντος	δεικνύσης	δεικνύντος
D.	δεικνύντι	δεικνύσῃ	δεικνύντι
A.	δεικνύντα	δεικνῦσαν	δεικνύν
D. N. A. V.	δεικνύντε	δεικνύσᾱ	δεικνύντε
G. D.	δεικνύντοιν	δεικνύσαιν	δεικνύντοιν
P. N. V.	δεικνύντες	δεικνῦσαι	δεικνύντα
G.	δεικνύντων	δεικνῡσῶν	δεικνύντων
D.	δεικνῦσι	δεικνύσαις	δεικνῦσι
A.	δεικνύντας	δεικνύσᾱς	δεικνύντα

δίδωμι

S. N. V.	διδούς	διδοῦσα	διδόν
G.	διδόντος	διδούσης	διδόντος
D.	διδόντι	διδούσῃ	διδόντι
A.	διδόντα	διδοῦσαν	διδόν
D. N. A. V.	διδόντε	διδούσᾱ	διδόντε
G. D.	διδόντοιν	διδούσαιν	διδόντοιν
P. N. V.	διδόντες	διδοῦσαι	διδόντα
G.	διδόντων	διδουσῶν	διδόντων
D.	διδοῦσι	διδούσαις	διδοῦσι
A.	διδόντας	διδούσᾱς	διδόντα

Participles (*continued*)

(*g*) Present Active of Contract Verbs

τῑμάω

	M.	F.	N.
S. N. V.	τῑμῶν (τῑμάων)	τῑμῶσα (τῑμάουσα)	τῑμῶν (τῑμάον)
G.	τῑμῶντος (τῑμάοντος)	τῑμώσης (τῑμαούσης)	τῑμῶντος (τῑμάοντος)
D.	τῑμῶντι (τῑμάοντι)	τῑμώσῃ (τῑμαούσῃ)	τῑμῶντι (τῑμάοντι)
A.	τῑμῶντα (τῑμάοντα)	τῑμῶσαν (τῑμάουσαν)	τῑμῶν (τῑμάον)
D. N. A. V.	τῑμῶντε (τῑμάοντε)	τῑμώσᾱ (τῑμαούσᾱ)	τῑμῶντε (τῑμάοντε)
G. D.	τῑμώντοιν (τῑμαόντοιν)	τῑμώσαιν (τῑμαούσαιν)	τῑμώντοιν (τιμαόντοιν)
P. N. V.	τῑμῶντες (τῑμάοντες)	τῑμῶσαι (τῑμάουσαι)	τῑμῶντα (τῑμάοντα)
G.	τῑμώντων (τῑμαόντων)	τῑμωσῶν (τῑμαουσῶν)	τῑμώντων (τῑμαόντων)
D.	τῑμῶσι (τῑμάουσι)	τῑμώσαις (τῑμαούσαις)	τῑμῶσι (τῑμάουσι)
A.	τῑμῶντας (τῑμάοντας)	τῑμώσᾱς (τῑμαούσᾱς)	τῑμῶντα (τῑμάοντα)

φιλέω

S. N. V.	φιλῶν (φιλέων)	φιλοῦσα (φιλέουσα)	φιλοῦν (φιλέον)
G.	φιλοῦντος (φιλέοντος)	φιλούσης (φιλεούσης)	φιλοῦντος (φιλέοντος)
D.	φιλοῦντι (φιλέοντι)	φιλούσῃ (φιλεούσῃ)	φιλοῦντι (φιλέοντι)
A.	φιλοῦντα (φιλέοντα)	φιλοῦσαν (φιλέουσαν)	φιλοῦν (φιλέον)
D. N. A. V.	φιλοῦντε (φιλέοντε)	φιλούσᾱ (φιλεούσᾱ)	φιλοῦντε (φιλέοντε)
G. D.	φιλούντοιν (φιλεόντοιν)	φιλούσαιν (φιλεούσαιν)	φιλούντοιν (φιλεόντοιν)

φιλέω (*continued*)

	M.	F.	N.
P. N. V.	φιλοῦντες (φιλέοντες)	φιλοῦσαι (φιλέουσαι)	φιλοῦντα (φιλέοντα)
G.	φιλούντων (φιλεόντων)	φιλουσῶν (φιλεουσῶν)	φιλούντων (φιλεόντων)
D.	φιλοῦσι (φιλέουσι)	φιλούσαις (φιλεούσαις)	φιλοῦσι (φιλέουσι)
A.	φιλοῦντας (φιλέοντας)	φιλούσᾱς (φιλεούσᾱς)	φιλοῦντα (φιλέοντα)

Present participles of verbs in -όω are declined like φιλῶν:

S. N. V.	δηλῶν	δηλοῦσα	δηλοῦν
G.	δηλοῦντος	δηλούσης	δηλοῦντος
		κ.τ λ.	

THE GENNADEION

This library, belonging to the American School of Classical Studies at Athens, shows marked influence of classic Greek architecture.

515. NUMERALS

	Cardinal	Ordinal	Adverb
1	εἷς, μία, ἕν *one*	πρῶτος, -η, -ον *first*	ἅπαξ *once*
2	δύο *two*	δεύτερος, -ᾱ, -ον *second*	δίς *twice*
3	τρεῖς, τρία	τρίτος	τρίς
4	τέτταρες, τέτταρα	τέταρτος	τετράκις
5	πέντε	πέμπτος	πεντάκις
6	ἕξ	ἕκτος	ἑξάκις
7	ἑπτά	ἕβδομος	ἑπτάκις
8	ὀκτώ	ὄγδοος	ὀκτάκις
9	ἐννέα	ἔνατος	ἐνάκις
10	δέκα	δέκατος	δεκάκις
11	ἕνδεκα	ἑνδέκατος	ἑνδεκάκις
12	δώδεκα	δωδέκατος	δωδεκάκις
13	τρεῖς καὶ δέκα	τρίτος καὶ δέκατος	
14	τέτταρες καὶ δέκα	τέταρτος καὶ δέκατος	
15	πεντεκαίδεκα	πέμπτος καὶ δέκατος	
16	ἑκκαίδεκα	ἕκτος καὶ δέκατος	
17	ἑπτακαίδεκα	ἕβδομος καὶ δέκατος	
18	ὀκτωκαίδεκα	ὄγδοος καὶ δέκατος	
19	ἐννεακαίδεκα	ἔνατος καὶ δέκατος	
20	εἴκοσι	εἰκοστός	εἰκοσάκις
21	εἷς καὶ εἴκοσι, εἴκοσι καὶ εἷς or εἴκοσιν εἷς		
30	τριᾰ́κοντα	τριᾱκοστός	τριᾱκοντάκις
40	τετταράκοντα	τετταρακοστός	τετταρακοντάκις
50	πεντήκοντα	πεντηκοστός	πεντηκοντάκις
60	ἑξήκοντα	ἑξηκοστός	ἑξηκοντάκις
70	ἑβδομήκοντα	ἑβδομηκοστός	ἑβδομηκοντάκις
80	ὀγδοήκοντα	ὀγδοηκοστός	ὀγδοηκοντάκις
90	ἐνενήκοντα	ἐνενηκοστός	ἐνενηκοντάκις
100	ἑκατόν	ἑκατοστός	ἑκατοντάκις

NUMERALS (*continued*)

	CARDINAL	ORDINAL	ADVERB
200	διᾱκόσιοι, -αι, -α	διᾱκοσιοστός	διᾱκοσιάκις
300	τριᾱκόσιοι, -αι, -α	τριᾱκοσιοστός	
400	τετρακόσιοι, -αι, -α	τετρακοσιοστός	
500	πεντακόσιοι, -αι, -α	πεντακοσιοστός	
600	ἑξακόσιοι, -αι, -α	ἑξακοσιοστός	
700	ἑπτακόσιοι, -αι, -α	ἑπτακοσιοστός	
800	ὀκτακόσιοι, -αι, -α	ὀκτακοσιοστός	
900	ἐνακόσιοι, -αι, -α	ἐνακοσιοστός	
1,000	χίλιοι, -αι, -α	χῑλιοστός	χῑλιάκις
2,000	δισχίλιοι, -αι, -α	δισχῑλιοστός	
3,000	τρισχίλιοι, -αι, -α	τρισχῑλιοστός	
10,000	μῦριοι, -αι, -α	μῡριοστός	μῡριάκις
20,000	δισμῦριοι, -αι, -α		
100,000	δεκακισμῦριοι, -αι, -α		

516. DECLENSION OF THE FIRST FOUR CARDINALS

	SINGULAR			DUAL		PLURAL		PLURAL	
N.	εἷς	μία	ἕν	N. A.	δύο	N.	τρεῖς τρία	τέτταρες	τέτταρα
G.	ἑνός	μιᾶς	ἑνός	G. D.	δυοῖν	G.	τριῶν τριῶν	τεττάρων	τεττάρων
D.	ἑνί	μιᾷ	ἑνί			D.	τρισί τρισί	τέτταρσι	τέτταρσι
A.	ἕνα	μίαν	ἕν			A.	τρεῖς τρία	τέτταρας	τέτταρα

517.

	M.	F.	N.
S. N.	οὐδείς	οὐδεμία	οὐδέν
G.	οὐδενός	οὐδεμιᾶς	οὐδενός
D.	οὐδενί	οὐδεμιᾷ	οὐδενί
A.	οὐδένα	οὐδεμίαν	οὐδέν

Masc. pl.: N. οὐδένες, G. οὐδένων, D. οὐδέσι, A. οὐδένας

518. THE DEFINITE ARTICLE

	M.	F.	N.
S. N.	ὁ	ἡ	τό
G.	τοῦ	τῆς	τοῦ
D.	τῷ	τῇ	τῷ
A.	τόν	τήν	τό
D. N. A.	τώ	τώ	τώ
G. D.	τοῖν	τοῖν	τοῖν
P. N.	οἱ	αἱ	τά
G.	τῶν	τῶν	τῶν
D.	τοῖς	ταῖς	τοῖς
A.	τούς	τάς	τά

PRONOUNS

519. Personal and Intensive

			M.	F.	N.
S. N.	ἐγώ	σύ	αὐτός	αὐτή	αὐτό
G.	ἐμοῦ, μου	σοῦ	αὐτοῦ	αὐτῆς	αὐτοῦ
D.	ἐμοί, μοι	σοί	αὐτῷ	αὐτῇ	αὐτῷ
A.	ἐμέ, με	σέ	αὐτόν	αὐτήν	αὐτό
D. N. A.	νώ	σφώ	αὐτώ	αὐτά	αὐτώ
G. D.	νῷν	σφῷν	αὐτοῖν	αὐταῖν	αὐτοῖν
P. N.	ἡμεῖς	ὑμεῖς	αὐτοί	αὐταί	αὐτά
G.	ἡμῶν	ὑμῶν	αὐτῶν	αὐτῶν	αὐτῶν
D.	ἡμῖν	ὑμῖν	αὐτοῖς	αὐταῖς	αὐτοῖς
A.	ἡμᾶς	ὑμᾶς	αὐτούς	αὐτάς	αὐτά

520. ἄλλος is inflected like αὐτός:

	M.	F.	N.
S. N.	ἄλλος	ἄλλη	ἄλλο
G.	ἄλλου	ἄλλης	ἄλλου
		κ.τ.λ.	
P. N.	ἄλλοι	ἄλλαι	ἄλλα
G.	ἄλλων	ἄλλων	ἄλλων
		κ.τ.λ.	

Pronouns (*continued*)

521. Reflexive

		M.	F.
1.	S. G.	ἐμαυτοῦ	ἐμαυτῆς
	D.	ἐμαυτῷ	ἐμαυτῇ
	A.	ἐμαυτόν	ἐμαυτήν
	P. G.	ἡμῶν αὐτῶν	ἡμῶν αὐτῶν
	D.	ἡμῖν αὐτοῖς	ἡμῖν αὐταῖς
	A.	ἡμᾶς αὐτούς	ἡμᾶς αὐτάς
2.	S. G.	σεαυτοῦ [1]	σεαυτῆς
	D.	σεαυτῷ	σεαυτῇ
	A.	σεαυτόν	σεαυτήν
	P. G.	ὑμῶν αὐτῶν	ὑμῶν αὐτῶν
	D.	ὑμῖν αὐτοῖς	ὑμῖν αὐταῖς
	A.	ὑμᾶς αὐτούς	ὑμᾶς αὐτάς

		M.	F.	N.
3.	S. G.	ἑαυτοῦ [2]	ἑαυτῆς	ἑαυτοῦ
	D.	ἑαυτῷ	ἑαυτῇ	ἑαυτῷ
	A.	ἑαυτὸν	ἑαυτήν	ἑαυτό
	P. G.	ἑαυτῶν [2]	ἑαυτῶν	ἑαυτῶν
	D.	ἑαυτοῖς	ἑαυταῖς	ἑαυτοῖς
	A.	ἑαυτούς	ἑαυτάς	ἑαυτά
		or	or	
	P. G.	σφῶν αὐτῶν	σφῶν αὐτῶν	
	D.	σφίσιν αὐτοῖς	σφίσιν αὐταῖς	
	A.	σφᾶς αὐτούς	σφᾶς αὐτάς	

522. Reciprocal

		M.	F.	N.
D. G. D.		ἀλλήλοιν	ἀλλήλαιν	ἀλλήλοιν
	A.	ἀλλήλω	ἀλλήλᾱ	ἀλλήλω
	P. G.	ἀλλήλων	ἀλλήλων	ἀλλήλων
	D.	ἀλλήλοις	ἀλλήλαις	ἀλλήλοις
	A.	ἀλλήλους	ἀλλήλᾱς	ἄλληλα

[1] Or, contracted, σαυτοῦ, σαυτῆς, *etc.*

[2] Or, contracted, αὑτοῦ, αὑτῆς, αὑτοῦ, *etc.*

Pronouns (*continued*)

523. Demonstrative

	M.	F.	N.	M.	F.	N.
S. N.	ὅδε	ἥδε	τόδε	οὗτος	αὕτη	τοῦτο
G.	τοῦδε	τῆσδε	τοῦδε	τούτου	ταύτης	τούτου
D.	τῷδε	τῇδε	τῷδε	τούτῳ	ταύτῃ	τούτῳ
A.	τόνδε	τήνδε	τόδε	τοῦτον	ταύτην	τοῦτο
D. N. A.	τώδε	τώδε	τώδε	τούτω	τούτω	τούτω
G. D.	τοῖνδε	τοῖνδε	τοῖνδε	τούτοιν	τούτοιν	τούτοιν
P. N.	οἵδε	αἵδε	τάδε	οὗτοι	αὗται	ταῦτα
G.	τῶνδε	τῶνδε	τῶνδε	τούτων	τούτων	τούτων
D.	τοῖσδε	ταῖσδε	τοῖσδε	τούτοις	ταύταις	τούτοις
A.	τούσδε	τάσδε	τάδε	τούτους	ταύτᾱς	ταῦτα

	M.	F.	N.
S. N.	ἐκεῖνος	ἐκείνη	ἐκεῖνο
G.	ἐκείνου	ἐκείνης	ἐκείνου
D.	ἐκείνῳ	ἐκείνῃ	ἐκείνῳ
A.	ἐκεῖνον	ἐκείνην	ἐκεῖνο
D. N. A.	ἐκείνω	ἐκείνω	ἐκείνω
G. D.	ἐκείνοιν	ἐκείνοιν	ἐκείνοιν
P. N.	ἐκεῖνοι	ἐκεῖναι	ἐκεῖνα
G.	ἐκείνων	ἐκείνων	ἐκείνων
D.	ἐκείνοις	ἐκείναις	ἐκείνοις
A.	ἐκείνους	ἐκείνᾱς	ἐκεῖνα

524. Interrogative

Indefinite

	M. and F.	N.	M. and F.	N.
S. N.	τίς	τί	τις	τι
G.	τίνος, τοῦ	τίνος, τοῦ	τινός, του	τινός, του
D.	τίνι, τῷ	τίνι, τῷ	τινί, τῳ	τινί, τῳ
A.	τίνα	τί	τινά	τι
D. N. A.	τίνε	τίνε	τινέ	τινέ
G. D.	τίνοιν	τίνοιν	τινοῖν	τινοῖν
P. N.	τίνες	τίνα	τινές	τινά
G.	τίνων	τίνων	τινῶν	τινῶν
D.	τίσι	τίσι	τισί	τισί
A.	τίνας	τίνα	τινάς	τινά

Pronouns (*continued*)

525. Relative

	M.	F.	N.	M.	F.	N.
S. N.	ὅς	ἥ	ὅ	ὅστις	ἥτις	ὅ τι
G.	οὗ	ἧς	οὗ	οὑτινος, ὅτου	ἥστινος	οὑτινος, ὅτου
